[2] "Πτολεμαῖος ὁ Φιλοπάτωρ κατασκευάσας Ὁμήρῳ νεών, αὐτὸν μὲν καλὸν καλῶς ἐκάθισεν· κύκλῳ δὲ τὰς πόλεις περιέστησε τοῦ ἀγάλματος, ὅσαι ἀντιποιοῦνται τοῦ Ὁμήρου. Γαλάτων δὲ ὁ ζωγράφος ἔγραψε τὸν μὲν Ὅμηρον αὐτὸν ἐμοῦντα, τοὺς δὲ ἄλλους ποιητὰς τὰ ἐμημεσμένα ἀρυομένους." Ποικ. Ἱστ. ΙΓ', 22. *Ἀλλὰ καὶ παρὰ τοῖς Ἀργείοις θείας ἀπελάμβανε τιμὰς ὁ ποιητής, ὡς ἱστορεῖ ὁ τὸν Ὁμήρου καὶ Ἡσιόδου ἀγῶνα συγγράψας (ἐν τέλει), καὶ ὁ Αἰλιανὸς (ἔνθ. ἀν. Θ', 15)· "Ποιητικῆς ἁπάσης Ἀργεῖοι τὰ πρῶτα Ὁμήρῳ ἔδωκαν, δευτέρους δὲ αὐτοῦ ἔταττον πάντας. Ποιοῦντες δὲ θυσίαν ἐπὶ ξενίᾳ ἐκάλουν τὸν Ἀπόλλωνα καὶ Ὅμηρον κ. τ. λ." Οὐ μόνον δὲ παρ᾿ Ἕλλησιν, ἀλλὰ καὶ παρὰ Βορυσθενίταις τοιαῦται ἀπεδίδοντο τιμαὶ τῷ ποιητῇ, ὡς ἱστορεῖ Δίων ὁ Χρυσόστομος ἐν Λόγῳ ΛΣΤ', τῷ ἐπιγραφομένῳ Βορυσθενικῷ* (σελ. 439, ἔκδ. Ῥεϊσκίου). *Ἴδε πλείω περὶ τούτου παρὰ Φαβρικίῳ.* Ἑλ. Β., τόμ. Α', σελ. 324—27.

Κατὰ δὴ ταῦτα κατεσκευάσθη καὶ ὑπὸ Ἀρχελάου τοῦ Πριηνέως, ἐν τῷ πρώτῳ μετὰ Χριστὸν αἰῶνι ἀκμάσαντος, ἡ περίφημος Ὁμήρου ἀποθέωσις, ἀνάγλυφον ἀξιόλογον, ἐν τῷ Βρεττανικῷ Μουσείῳ νῦν ἀποκείμενον, ἐξ οὗ κατεσκευάσθη καὶ ἡ ἐν κεφαλίδι τοῦ παρόντος πονήματος εἰκών. Καὶ νομίζουσι μέν τινες, ὅτι τὸ ἀνάγλυφον τοῦτο κατεσκευάσθη ἐν Ῥώμῃ, ἐπὶ τῆς βασιλείας τοῦ φιλομήρου Κλαυδίου, διότι ἀνευρέθη ἐν τῷ παλατίῳ αὐτοῦ τῷ ἐν τῇ πόλει Bovillae (νῦν Frattocchi), ἥπερ ἀπέχει τῆς Ῥώμης δώδεκα μόλις μίλια· ὀρθότερον ὅμως κρίνουσιν οἱ νομίζοντες, ὅτι κατεσκευάσθη ἐν τῇ Ἑλλάδι, καὶ μετεκομίσθη εἰς Ῥώμην, ὅτε πολλὰ τῶν τῆς Ἑλλάδος ἀριστουργημάτων μετεκομίζοντο ἐκεῖ εἰς καλλωπισμὸν τῆς κοσμοκράτορος μητροπόλεως.

Ὅπως δ' ἂν ἔχωσι τὰ περὶ τούτου, ἐν τῷ ἀξιολόγῳ τούτῳ ἀναγλύφῳ εἰκονίζεται ὄρος, ὃ κατ' ἄλλους μέν ἐστιν ὁ Ὄλυμπος, κατ' ἄλλους δὲ ὁ Παρνασσός, καὶ κατ' ἄλλους ὀρθότερον ὁ Ἑλικών.[1] Ἐπὶ τοῦ ὄρους τούτου

---

[1] *Πρὸς ἑρμηνείαν τοῦ ἀναγλύφου τούτου πολλαὶ συνεγράφησαν διατριβαὶ ἀπὸ τῆς ἀνακαλύψεως αὐτοῦ μέχρι νῦν. Καὶ πρῶτος μὲν (καθ' ὅσον ἐγὼ γινώσκω) ἔγραψε περὶ τούτου ὁ πολυμαθὴς Ἰησουΐτης* Kircher (*ἐν Ἀμστελοδ.* 1671)· *ἔπειτα δὲ ὁ Ὀλλανδὸς* G. Cuper (*ἐν Ἀμστελοδ.* 1683), *καὶ ἐφεξῆς ὁ Γερμανὸς ἢ Ἐλβετὸς ἀρχαιολόγος* Spanheim, *ὁ Ὀλλανδὸς φιλόλογος* Heinsius (*ὁ Νικόλαος*), *ὁ Ἐλβετὸς Ἑλληνιστὴς καὶ καθηγητὴς τῶν Ἑλληνικῶν ἐν Λεύδῃ* C. E. Webstein (*ὃς μᾶλλον ἐπανέλαβε τὰ τοῦ Κυπέρου*), *ὁ* Jo. C. Schottus (*ἐν ἔτει* 1714), *ὃς καὶ μνημονεύει πάντων τῶν πρὸ αὐτοῦ γραψάντων περὶ τούτου, ἐξετάζων τὴν γνώμην ἑκάστου, καὶ ἐν τέλει τὴν ἰδίαν αὐτοῦ ἐκτιθέμενος· ἐπειδὴ δέ τινες ἀντέκρουσαν τὰς γνώμας αὐτοῦ, ἠναγκάσθη καὶ δεύτερον νὰ γράψῃ περὶ τούτου. Ἐφεξῆς δὲ ὅ τε* Montfaucon *ἐν τῷ πολυτόμῳ καὶ πολυτίμῳ αὐτοῦ συγγράμματι* "L'Antiquité expliquée," (tom. v. p. 165), *καὶ ὁ* D'Hancarville *ἐν τῷ διτόμῳ συγγράμματι αὐτοῦ*—Recherches sur l'Origine, l'Esprit et les Progrès des Arts de la Grèce (tom. ii., p. 296, et seqq.), *καὶ ὁ Ἰάκωβος Γρονόβιος ἐν τῷ Β' τόμῳ τοῦ Θησαυροῦ τῶν Ἑλληνικῶν ἀρχαιοτήτων* (Thesaurus Grac. Antiq.), *τήν τε εἰκόνα τῆς τοῦ ποιητοῦ ἀποθεώσεως παρέθεντο, καὶ ἰδίαν αὐτῆς ἔγραψαν ἕκαστος ἑρμηνείαν. Ἀλλὰ καὶ ἄλλοι τῶν περὶ Ὁμήρου γραψάντων πολὺν καὶ περὶ τοῦ ἀναγλύφου τούτου ἐποιήσαντο λόγον, ἐν οἷς καὶ ὁ Ἰταλὸς Καισαρόττιος ἐν τοῖς Προλεγομένοις τῆς ὑπ' αὐτοῦ μεταφράσεως τῶν Ὁμηρικῶν ἐπῶν (τόμ. Α', σελ.* 227—9), *ἔνθα ἰδίαν παρήρτησε περὶ τούτου διατριβήν* "Sposizione d'un Basso-Relievo antico relativo ad Omero." *Ἴδε πρὸς τούτοις καὶ τὸ Ἀγγλικὸν σύγγραμμα* The Library of Entertaining Knowledge: The Townley Gallery (vol. ii., p. 119—130), *ἔνθα πρὸς τοῖς ἄλλοις λέγεται, ὅτι τὸ περὶ οὗ ὁ λόγος ἀνάγλυφον ἠγοράσθη ὑπὸ τοῦ Βρεττανικοῦ Μουσείου ἀντὶ Λιρῶν Ἀγγλ.* 1000. *Πολλὴ δὲ ἐν πᾶσι τούτοις ἡ διαφωνία περί τε τοῦ ὄρους, καὶ τοῦ ἐν αὐτῷ προκαθημένου, καὶ τοῦ πρὸ*

προκάθηται μὲν ὁ ποιητὴς αὐτός, σκῆπτρον ἔχων ἐν τῇ δεξιᾷ, καὶ πτηνόν τι πρὸ τῶν ποδῶν αὐτοῦ, ὅπερ ἐστὶν ὁ κόραξ, ἱερὸν τοῦ μουσηγέτου Ἀπόλλωνος·[1] στρέφων δὲ τὴν κεφαλὴν πρὸς τὰ ὄπισθεν, ἀποβλέπει πρὸς τὴν Μνημοσύνην τὴν τῶν Μουσῶν μητέρα, παρ' ἧς φαίνεται νουθετούμενος, καὶ ἀκούων τὰς νουθεσίας αὐτῆς. Ὄπισθεν τῆς Μνημοσύνης ἵσταται γυνή, πρὸς τὰς κάτωθεν ἱσταμένας Μούσας τείνουσα ἑαυτήν, καὶ οἷον σπεύδουσα νὰ ἑνωθῇ μετ' αὐτῶν· ἔστι δὲ αὕτη ἡ Λεσβία ποιήτρια Σαπφώ, ἡ δεκάτη Μοῦσα ἐπικληθεῖσα, τρόπον τινὰ συναριθμουμένη ὑπὸ τῆς Μνημοσύνης μετὰ τῶν ἐννέα θυγατέρων αὐτῆς. Κάτωθεν τῆς Σαπφοῦς ἵσταται ἀνὴρ ἐπὶ τρίποδος, καὶ οὗτός ἐστιν ὁ Ἡσίοδος, βιβλίον ἔχων ἐν χερσίν, ὅπερ ἐστὶ τὰ ἴδια αὐτοῦ ποιήματα· αἰτιολογοῦσι δὲ τὴν τοῦ Ἡσιόδου παρουσίαν ἔκ τε τοῦ τὴν πατρίδα αὐτοῦ Ἄσκρην παρὰ τὸν Ἑλικῶνα κεῖσθαι, καὶ ἐκ τοῦ τρίποδος, ὃν ὁ Ἡσίοδος ἀνέθηκε ταῖς Μούσαις ἐν Ἑλικῶνι, νικήσας, ὡς λέγεται, τὸν Ὅμηρον ἐν τῷ ποιητικῷ διαγωνισμῷ· ἀλλ' ὀρθότερον, νομίζω, ἐξηγεῖται τοῦ Ἡσιόδου ἡ παρουσία, ὅτι ἐν τῷ Ἑλικῶνι

τῶν ποδῶν αὐτοῦ πτηνοῦ κ. τ. λ., περὶ ὧν εἴ τις ἐπιθυμεῖ λεπτομερέστερον ἀνερευνῆσαι, ἰδέτω τὰ προμνημονευθέντα συγγράμματα. Ἡμῖν δὲ προσθετέον τοῖς περὶ τῶν Ὁμήρῳ ἀποδεδομένων τιμῶν καὶ τάδε· ὅτι, ὡς αἱ ὑπὸ τῶν ἀρχαίων ἀποδοθεῖσαι τῷ ποιητῇ θεῖαι τιμαὶ ὑπηγόρευσαν τῷ Ἀρχελάῳ τὴν ἰδέαν τοῦ νὰ κατασκευάσῃ ἐπὶ τοῦ ἀναγλύφου ἐκείνου τὴν Ὁμήρου ἀποθέωσιν, οὕτω καὶ ἐκ τῆς εἰκόνος αὐτοῦ ταύτης λαβόντες ἀφορμὴν δύο τῶν καθ' ἡμᾶς ἀρίστων ζωγράφων, ὁ Γερμανὸς Kaulbach καὶ ὁ Γάλλος Ingres ἐνησχόλησαν τὴν ἀριστουργὸν αὐτῶν δεξιὰν εἰς τιμὴν τοῦ ποιητοῦ. Καὶ ὁ μὲν πρῶτος ἐξεικόνισεν ἐν Βερολίνῳ τὴν Ὁμήρου ἀποθέωσιν, θαυμαστόν τι χρῆμα ζωγραφικῆς τελειότητος· ὁ δὲ δεύτερος ἐξεικόνισεν ἐν Παρισίοις οὐχ ἧττον ἄριστα τὸν ποιητήν, ὡς μέγιστον τῆς ἀνθρωπότητος διδάσκαλον. Οὐδετέραν τῶν εἰκόνων τούτων εἶδον ἐγὼ μέχρι νῦν· ἐρανίζομαι δὲ τὰ περὶ τούτων ἐκ τῆς ἀξιολόγου περὶ τοῦ Ὁμηρικοῦ ζητήματος πραγματείας τοῦ εὐπαιδεύτου Ἕλληνος Κυρίου Δ. Θερειανοῦ, τῆς ἐν τῇ Κλειοῖ δημοσιευθείσης, ἣν καὶ ἐν ἰδίῳ τεύχει ὑπέσχετο νὰ δημοσιεύσῃ πλήρη ὁ συγγραφεύς. Εὐκτέον δὲ ὅτι τάχιστα νὰ ἴδῃ τὸ φῶς ἡ ἀξιόλογος ἐκείνη πραγματεία, ἀφαιρουμένου, εἰ δυνατόν, τοῦ πρώτου μέρους αὐτῆς, καὶ μόνης ἐπικρατούσης τῆς καθ' Ἡσίοδον ἀγαθῆς ἔριδος.

[1] Ἴδε περὶ τούτου Πλούταρχον ἐν τῷ περὶ Ἴσιδος καὶ Ὀσίρ. (§ 71) καὶ Αἰλιαν. περὶ φύσ. ζώων (Α', 48). Οἱ δὲ νομίζοντες, ὅτι ὁ προκαθήμενός ἐστιν ὁ Ζεύς, ἑρμηνεύουσι τὸ πρὸ τῶν ποδῶν αὐτοῦ πτηνὸν ὡς αετόν, ὃς ἦν ἱερὸς τοῦ Διός. Φαίνεται ὅμως προτιμοτέρα ἡ ἄλλη γνώμη, ὅτι ὁ προκαθήμενός ἐστιν ὁ ποιητὴς αὐτός, ὡς ἄλλος μουσηγέτης Ἀπόλλων εἰκονιζόμενος· τοῦτο δὲ δηλοῖ καὶ τὸ περὶ τὴν κεφαλὴν αὐτοῦ στενὸν διάδημα, ἢ στρόφιον, οἷον εὕρηται φέρων ὁ ποιητὴς ἐν πάσαις αὐτοῦ ταῖς εἰκόσιν.

ποιμαίνοντα ἐδίδαξαν αὐτὸν αἱ Μοῦσαι τὴν καλὴν ἀοιδήν, ὡς αὐτὸς λέγει ἐν ἀρχῇ τῆς Θεογονίας. Ἐφεξῆς εἰκονίζεται σπήλαιον, εἰς οὗ τὴν εἴσοδον ἵστανται δύο τῶν Μουσῶν, ἡ μὲν Καλλιόπη ἐκ δεξιῶν, ᾄδουσα καὶ φορμίζουσα, καὶ οἷον ἀνταποκρινομένη πρὸς τὴν τοῦ ποιητοῦ ἐπίκλησιν·

Μῆνιν ἄειδε, Θεά, Πηληϊάδεω Ἀχιλῆος·

ἡ δὲ Κλειὼ ἐξ ἀριστερῶν, ἥπερ, ὡς προστάτις τῆς Ἱστορίας, ἀνταποκρίνεται πρὸς τὴν ἐν Ὀδυσσείᾳ ἐπίκλησιν τοῦ ποιητοῦ·

Ἄνδρα μοι ἔννεπε, Μοῦσα, πολύτροπον, κ. τ. λ.

ὁ δὲ μεταξὺ τῆς Καλλιόπης καὶ Κλειοῦς εἰκονιζόμενος κῶνος, ἢ περικεφαλαία (ἐν ᾗ συνήθως παριστῶσι καλυπτομένην τὴν κεφαλὴν τοῦ Ὀδυσσέως), καὶ τὰ ἐπὶ τοῦ κώνου τούτου σύμβολα, τὸ τόξον καὶ ἡ φαρέτρα, εἰκονίζουσιν ἐν συμπλέγματι καταλλήλῳ τὰ δύο τοῦ Ὁμήρου ἀθάνατα καὶ ἀδιάσπαστα ποιήματα, τὴν Ἰλιάδα καὶ τὴν Ὀδύσσειαν. Ἡ δεξιόθεν τοῦ σπηλαίου ἱσταμένη, καὶ οἷον ἀκροωμένη τοῦ ᾄσματος τῆς Καλλιόπης, ἐστὶν ἡ Πολυμνία, ἡ τοῦ μύθου προστάτις· μετὰ δὲ ταύτην ἵσταται ἡ Οὐρανία, βλέπουσα πρὸς ἄλλην καθημένην, ἥπερ ἐστὶν ἡ Τερψιχόρη· πρὸς ταύτην δὲ ἡ Οὐρανία δακτυλοδεικτεῖ ἐπὶ σφαίρας, αἰνιττομένη τοὺς περὶ Κοσμογονίας ποιήσαντας πρώτους ποιητὰς καὶ τοὺς Ὁμηρικοὺς ὕμνους, καὶ οἷον προσκαλοῦσα αὐτὴν εἰς τὸ ᾄδειν ὑπὸ λύρᾳ τοὺς ὕμνους τούτους· ἡ δὲ Τερψιχόρη φαίνεται ὑπακούουσα, καὶ κρούουσα τὴν λύραν. Ἄνωθεν αὐτῶν εἰκονίζονται αἱ ὑπόλοιποι τέσσαρες Μοῦσαι· καὶ ἡ μὲν πρώτη ἐκ δεξιῶν παρίσταται καθημένη, πρὸς τὰ ὄπισθεν ἐστραμμένη, καὶ βιβλίον ἐν χερσὶν ἔχουσα, ἐν ᾧ ἀναγινώσκει καὶ ἀπαγγέλλει· αὕτη δέ ἐστιν ἡ Μελπομένη, ἡ τῆς Τραγῳδίας προστάτις· ἡ δὲ μετ' αὐτήν, ἡ κωμικῶς πως ἐνδεδυμένη, καὶ ὡς ἀπὸ στήθους ἀπαγγέλλουσά τι, αὕτη ἐστὶν ἡ Θάλεια, ἡ τῆς Κωμῳδίας προστάτις. Μετὰ τὴν Θάλειαν ἵσταται ἡ τοῦ χοροῦ προστάτις Ἐρατώ· καὶ τελευταία εἰκονίζεται καθημένη ἡ Εὐτέρπη, τῇ μὲν ἀριστερᾷ χειρὶ ἐπερειδομένη, διὰ δὲ τῆς δεξιᾶς προσφέρουσα τῷ ποιητῇ δύο αὐλούς. Καὶ τοιαύτη μὲν ἡ ἐν τῇ εἰκόνι χορεία τῶν Μουσῶν, ἣν ὁ τῆς Βατραχομυομαχίας ποιητὴς ἐπικαλούμενος εὐθὺς ἐν ἀρχῇ λέγει·

Ἀρχόμενος πρῶτον Μουσῶν χορὸν ἐξ Ἑλικῶνος
ἐλθεῖν εἰς ἐμὸν ἦτορ ἐπεύχομαι κ. τ. λ.

Ἐν δὲ τῇ βάσει τῆς εἰκόνος, τοῦτ' ἔστιν ἐν τῇ ὑπωρείᾳ τοῦ εἰκονιζομένου Ἑλικῶνος, παρίσταται ἡ τοῦ Ὁμήρου ἀποθέωσις ὧδέ πως.—Ὁ μὲν ποιητὴς κάθηται ἐπὶ θρόνου, ἐν μὲν τῇ ἀριστερᾷ σκῆπτρον ἔχων, ἐν δὲ τῇ δεξιᾷ βιβλίον, ὅπερ ἐστὶ τὰ ποιήματα αὐτοῦ· καὶ παρ' αὐτῷ γονυπετοῦσιν ἡ Ἰλιὰς καὶ ἡ Ὀδύσσεια, ἡ μὲν πρώτη σκῆπτρον ἐν τῇ ἀριστερᾷ καὶ ξίφος ἐν τῇ δεξιᾷ φέρουσα, σύμβολα τῶν ἐν αὐτῇ ᾀδομένων μαχῶν, καὶ τῆς βασιλικῆς μεγαλοπρεπείας τοῦ ἐν αὐτῇ ἐπικρατοῦντος ὕψους, ἡ δὲ δευτέρα νηὸς ἄφλαστα προφαίνουσα, κοσμήματα δηλονότι πρώρας πλοίου, εἰς ἔνδειξιν τῆς ἐν θαλάσσῃ πλάνης τοῦ Ὀδυσσέως· ὑπὸ δὲ τὸν σκίμποδα, ἐφ' οὗ πατεῖ ὁ ποιητής, εἰκονίζονται εἰς θέσιν ἀντίπαλον βάτραχος καὶ μῦς, εἰς ἀνάμνησιν τῆς ἀποδιδομένης αὐτῷ Βατραχομυομαχίας. Ὄπισθεν δὲ τοῦ ποιητοῦ ἵστανται δύο ὑπόπτερα πνεύματα, ἐν γυναικείᾳ μορφῇ παριστῶντα τὴν Οἰκουμένην καὶ τὸν Χρόνον· καὶ ἡ μὲν Οἰκουμένη στεφανοῖ τὸν ποιητήν, ὁ δὲ Χρόνος φέρει τι ἐν τῇ ἀριστερᾷ, ὅπερ οἱ μὲν ἑρμηνεύουσιν ὡς βιβλίον, τὰ Ὁμηρικὰ δηλονότι ποιήματα, οἱ δὲ ὡς χαλκίνην πλάκα, ἐφ' ἧς κρούων ἄλλο τι ὄργανον, ὅπερ φέρει ἐν τῇ δεξιᾷ, ἐπευφημεῖ τρόπον τινὰ τῇ τοῦ ποιητοῦ στέψει. Ἐνώπιον τοῦ ποιητοῦ ἵσταται βωμός, ἐφ' οὗ πρόκειται νὰ τελεσθῇ θυσία πρὸς τιμὴν αὐτοῦ· καὶ τὸ μὲν ἱερεῖον προσάγεται· μεταξὺ δὲ τοῦ βωμοῦ καὶ τοῦ ποιητοῦ παρίσταται παῖς (καὶ οὗτός ἐστιν ὁ Μῦθος), ἔκθαμβος ἀποβλέπων πρὸς τὸν ποιητήν, καὶ κρατῶν ὑδρίαν τινὰ ἢ φιάλην, ὅπως ποιήσῃ ἐπὶ τοῦ βωμοῦ τὰς πρὸ τῆς θυσίας νενομισμένας καθαρτηρίους χοάς. Ὄπισθεν τοῦ βωμοῦ ἵστανται τέσσαρες γυναῖκες, τὰς χεῖρας ἔχουσαι πρὸς τὸν ποιητὴν τεταμένας, καὶ προσερχόμεναι, ὅπως τελέσωσι θυσίαν αὐτῷ, ὡς ἀρχηγέτῃ καὶ γεννήτορι· αὗται δέ εἰσιν ἡ Ἱστορία, ἡ Ποίησις (ἥτις καὶ φέρει τὸ ἱερὸν πῦρ), ἡ Τραγῳδία καὶ ἡ Κωμῳδία· καὶ τέλος πάντων ἕπονται ταῖς γυναιξὶ ταύταις πέντε ἄλλαι, ἡ Φύσις, ἡ Ἀρετή, ἡ Μνήμη, ἡ Πίστις καὶ ἡ Σοφία, ἐν αἷς εἰκονίζονται αἱ διὰ τῆς μελέτης τῶν Ὁμηρικῶν ἐπῶν ἀποκτώμεναι γνώσεις.

Τοιοῦτον μὲν τὸ περίφημον ἔργον τοῦ Ἕλληνος Ἀρχελάου τοῦ Πριηνέως, τὸ νῦν ἐν τῷ Βρεττανικῷ Μουσείῳ ἀποκείμενον. Εὕρηται δὲ καὶ ἄλλη τις εἰκὼν ἀποθεώσεως τοῦ Ὁμήρου ἐπὶ ἀργυροῦ ἀμφορέως, ἐν τοῖς ἐρειπίοις τοῦ

ἐν Ἰταλίᾳ Ἡρακλείου ἀνακαλυφθέντος, καὶ νῦν ἀποκειμένου ἐν τῷ Βασιλικῷ Μουσείῳ τῆς Νεαπόλεως. Ἡ εἰκὼν αὕτη ἐξεδόθη κατὰ τὸν παρελθόντα αἰῶνα ἔν τε τῇ συλλογῇ τῶν ἀρχαιοτήτων ὑπὸ τοῦ Γάλλου Κόμητος Caylus (τόμ. Β', εἰκ. 41), καὶ ἐν τῇ ἱστορίᾳ τῶν παρὰ τοῖς ἀρχαίοις τεχνῶν ὑπὸ Winckelmann (τόμ. Β', εἰκ. 8), ἔτι δὲ καὶ ὑπὸ Millingen ἐν ταῖς ἀνεκδότοις ἀρχαιότησι (Μέρ. Β', εἰκ. 13)· ἐν δὲ τῷ ἄρτι μνημονευθέντι Ἀγγλικῷ συγγράμματι (The Library of Entertaining Knowledge; The Townley Gallery, vol. ii.) περιγράφεται ὡς ἐφεξῆς.—Ὁ μὲν Ὅμηρος, γέρων τὸ φαινόμενον, κάθηται ἐπὶ τοῦ ἀετοῦ τοῦ Διός, ἤδη τὰς πτέρυγας ἀναπετανvύντος, καὶ ἑτοίμου εἰς πτῆσιν, ἵνα μεταγάγῃ εἰς τὸν Ὄλυμπον τὸν νέον αὐτοῦ οἰκήτορα, ὃς παρίσταται σύννους, τὴν κεφαλὴν πρὸς τὴν ἑτέραν τῶν χειρῶν ἀποκλίνων, καὶ βιβλίον φέρων ἐν τῇ ἑτέρᾳ, ὅπερ ἐστὶ τὰ ποιήματα αὐτοῦ. Αἱ δὲ δύο ἀθάνατοι θυγατέρες αὐτοῦ, ἡ Ἰλιὰς καὶ ἡ Ὀδύσσεια, παροῦσαι βλέπουσι τὰς εἰς τὸν πατέρα αὐτῶν ἀποδιδομένας θείας τιμάς. Παρίστανται δὲ ὡς δύο νεάνιδες προσηκόντως ἐσχηματισμέναι· καὶ ἡ μὲν πρώτη, ὡς δεῖγμα τοῦ πολεμικοῦ χαρακτῆρος αὐτῆς, φέρει κράνος, ἀσπίδα, δόρυ, καὶ ξίφος· ἡ δὲ νεωτέρα αὐτῆς ἀδελφὴ φέρει ἐπὶ κεφαλῆς ναυτικὸν πῖλον, τὸ χαρακτηριστικὸν τοῦ Ὀδυσσέως, καὶ κρατεῖ πηδάλιον, ὡς ἔμβλημα τῆς ναυτικῆς ἐπαγγελίας· μικρὸν δὲ ξίφος ἀνήρτηται ἀπὸ ζωστῆρος ἐπὶ τὸν δεξιὸν αὐτῆς μηρόν.

Αὗταί εἰσιν αἱ μετὰ θάνατον ἀποδοθεῖσαι τῷ Ὁμήρῳ τιμαί, καὶ τοιαύτη ἐστὶν ἡ ἑρμηνεία τῶν εἰκόνων τῆς ἀποθεώσεως αὐτοῦ. Ἔστι δὲ ὡς ἀληθῶς παράδοξον μέν, ἀλλὰ καὶ θαυμαστὸν τεκμήριον τῆς Ὁμήρου ὑπάρξεως (ἣν οὕτω προχείρως ἠμφισβήτησαν τῶν νεωτέρων τινές), ὅ, τι βλέπομεν συμβαῖνον εἰς πάντας σχεδὸν τοὺς μεθ' Ὅμηρον ποιητάς, ὅσοι ἐν διαφόροις ἔθνεσιν ἀνεφάνησαν πρῶτοι τῆς γλώσσης μορφωταὶ καὶ διδάσκαλοι τῶν ἠθικῶν καὶ πολιτικῶν ἀρετῶν, ἐξ ὧν τὰ ἔθνη προάγονται εἰς τὸν πολιτισμὸν καὶ τὴν εὐδαιμονίαν. Ἔστι δέ τοῦτο τί; Ὅτι πενιχρὸν καὶ ἄδοξον καὶ ἐπίπονον διαγαγόντες τὸν τῇδε βίον, ὡς περὶ Ὁμήρου λέγεται, πολλὰς καὶ μεγάλας ἔσχον μετὰ θάνατον τιμάς, ὡς ἐκεῖνος· εἷς δὲ ἐξ αὐτῶν, ὁ μέγας ποιητὴς τοῦ ἀπολωλότος Παραδείσου, ὁ δικαίως ὑπὸ τῶν νεωτέρων ἐπικληθεὶς Ὅμηρος Ἄγγλος, τά τε ἄλλα καὶ τὴν ἐν γήρᾳ τύφλωσιν ἔσχε

κοινὴν τῷ ἀθανάτῳ ποιητῇ τῆς Ἰλιάδος καὶ Ὀδυσσείας, εἴπερ κἀκεῖνος τυφλὸς ἦν, ὥς τινες τῶν ἀρχαίων αὐτοῦ βιογράφων ἱστόρησαν. Ὅστις ἀντιπαραβάλῃ πρὸς τὸν Ὁμήρου βίον τὸν τοῦ Δάντου καὶ Σακεσπήρου καὶ Μίλτωνος καὶ Καμοένου, καὶ πάντων σχεδὸν τῶν πρώτων ἀναφανέντων ποιητῶν ἐν διαφόροις ἔθνεσι, πρὶν ἢ τὰ ἔθνη ταῦτα φωτισθῶσι διὰ τῶν γραμμάτων καὶ ἐξευγενισθῶσιν, εὐκόλως κατανοήσει, διὰ τί τὰ Ὁμηρικὰ ποιήματα οὐ διέλαμψαν εὐθὺς ἐξ ἀρχῆς, καὶ ἅμα πιστεύσει ἀδιστάκτως, ὅτι τοσοῦτόν ἐστι βέβαιον ὅτι ὑπῆρξεν Ὅμηρος, ὁ τὴν Ἰλιάδα καὶ τὴν Ὀδύσσειαν ποιήσας, ὅσον ἐστὶν ἀναντίῤῥητον ὅτι ὑπῆρξε Δάντης καὶ Σακεσπῆρος καὶ Μίλτων καὶ Κομοένος. Οὕτως ἐξετάζων εὑρήσει, ὅτι ὁ μὲν Δάντης μετὰ πολλὰς περιπετείας ἀπέθανεν ἐξόριστος, καὶ περὶ τὰ ἔσχατα τοῦ βίου παρέβαλλεν ἑαυτὸν πρὸς πλοῖον ἄνευ ἱστίων καὶ πηδαλίου, ἄνω καὶ κάτω ὑπὸ τῆς βίας τοῦ τὰ πάντα καταμαραίνοντος καὶ καταξηραίνοντος ἀνέμου τῆς στυγερᾶς πενίας παραφερόμενον·[1] ἡ δὲ δόξα τοῦ Σακεσπήρου μόλις δύο μετὰ τὸν θάνατον αὐτοῦ αἰῶνας ἀνέλαμψεν ἀξία τῆς μεγάλης καὶ θαυμαστῆς αὐτοῦ εὐφυΐας·[2] ὁ δὲ πτωχὸς καὶ τυφλὸς τοῦ ἀπολωλότος Παραδείσου ποιητὴς ἠναγκάσθη ὑπὸ πενίας νὰ πωλήσῃ τὸ ἀριστούργημα ἐκεῖνο, κατ' ἄλλους μὲν ἀντὶ τριάκοντα, κατ' ἄλλους δὲ ἀντὶ δέκα μόνων λιρῶν· καὶ

---

[1] *Ἴδε τὸν βίον τοῦ Δάντου ἔν τε τῇ* Nouvelle Biographie Générale, par F. Didot Frères (Paris, 1855), *καὶ ἐν τῷ* Dictionnaire de la Conversation· *ἔτι δὲ* Boccaccio—Vita di Dante Alighieri: *καὶ τὴν ἐν ταῖς ἐκδόσεσι τοῦ ποιητοῦ προτασσομένην βιογραφίαν αὐτοῦ ὑπὸ τοῦ* Abate Girolamo Tiravoschi. *Ὁ τελευταῖος οὗτος λέγει πρὸς τοῖς ἄλλοις, ὅτι οὐ δυνάμεναι ν' ἀμφισβητῶσιν αἱ Ἰταλικαὶ πόλεις περὶ γενέσεως τοῦ Δάντου, ὡς ἀνέκαθεν ἐγένετο περὶ Ὁμήρου, ἀμφισβητοῦσι περὶ τοῦ τόπου, ἐν ᾧ ἐποίησε τὸ θαυμαστὸν αὐτοῦ ποίημα,* La Divina Commedia, *καὶ πολλαὶ ἀντιποιοῦνται τῆς τιμῆς ταύτης·* "Sembra che non potendosi disputare della patria di Dante, come si fa di quella di Omero, molte cità d' Italia invece contendan tra loro per la gloria di aver data in certo modo la nascità alla Divina Commedia da lui composta."

[2] *Ὅθεν ὁ συμπολίτης αὐτοῦ* E. L. Bulwer, *λέγει περὶ τούτου, ὅτι μόλις πρὸ ἑβδομήκοντα ἐτῶν ἐγνώσθη τὸ θαυμάσιον ἀποτέλεσμα, ὅπερ ὁ Σακεσπῆρος προώριστο νὰ προξενήσῃ ἐπὶ παντὸς τοῦ πνεύματος τῆς Εὐρώπης·* "The renown of a poet often precedes by many generations the visible influence of his peculiar genius. It is chiefly within the last seventy years that we may date the wonderful effect that Shakespeare was destined to produce upon the universal intellect of Europe." Athens: its Rise and Fall, etc. by E. L. Bulwer. London, 1837.

καταφρονούμενος ἀπέθανεν ὁ τοσοῦτο μετὰ θάνατον, οὐ μόνον ἐπὶ ποιητικῇ εὐφυΐᾳ, ἀλλὰ καὶ ἐπὶ ἀκραιφνεῖ πατριωτισμῷ καὶ ἀδόλῳ τῆς ἐλευθερίας ἔρωτι, δοξασθεὶς καὶ δοξαζόμενος Μίλτων·[1] καὶ τέλος πάντων ὁ μέγας τῆς Πορτογαλλίας ποιητὴς μετὰ πολλὰς καὶ ὀδυνηρὰς περιπετείας ἀπέθανεν ἀφανὴς ἔν τινι νοσοκομείῳ, καὶ αὐτὸν τὸν ἐπιούσιον ἄρτον ποριζόμενος ἐν τέλει τοῦ βίου διά τινος πιστοῦ δούλου, ὅστις ἐπαιτῶν ἐν ταῖς ὁδοῖς διέτρεφεν ἑαυτὸν καὶ τὸν πεινῶντα ποιητήν. Μετὰ θάνατον ἀπεδόθησαν καὶ τῷ Καμοένῳ αἱ προσήκουσαι τιμαί· καὶ λέγεται, ὅτι πρῶτος ὁ συμπολίτης αὐτοῦ D. Goncalo Coutinho ᾠκοδόμησεν αὐτῷ τάφον, τάδε προσηκόντως ἐπιγράψας· "Ἐνθάδε κεῖται Λουδοβῖκος Καμοένος, πρώτιστος τῶν συγχρόνων αὐτῷ ποιητῶν· ἔζησε δὲ καὶ ἀπέθανε πτωχὸς καὶ ἄθλιος."[2]

Τοιαύτη ὑπῆρξε πάντοτε καὶ πανταχοῦ τῶν γραμμάτων ἡ δύναμις καὶ ἡ τύχη. Ἀμυδρὸν κατὰ πρῶτον τὸ φῶς αὐτῶν, καὶ ὑπ' αὐτῶν τῶν φωτιζομένων καταφρονούμενον, ἀποβαίνει βαθμηδὸν λυχνία τηλαυγής· καὶ τότε διεγείρει ἐν τοῖς ἔθνεσι τὴν ἔρευναν, πόθεν ἤρξατο ὁ φωτισμὸς αὐτῶν, ἐξ οὗ προήχθησαν ἐπὶ τοσοῦτον ὑλικῆς καὶ ἠθικῆς εὐδαιμονίας. Τότε ἀνερευνῶνται

---

[1] Ἴδε τὰς ὑπὸ τοῦ σοφοῦ Villemain συγγεγραμμένας κριτικὰς βιογραφίας τοῦ Σακεσπήρου καὶ Μίλτωνος ἐν τῷ Études de Littérat. ancienne et étrangère, ἵνα μὴ πολλὰς καὶ ἀτελευτήτους λέγω βιογραφίας καὶ διατριβάς, ὑπὸ τῶν συμπολιτῶν αὐτῶν συγγεγραμμένας.

[2] Cy gît Louis de Camoens,
Prince des poètes de son temps.
Il vécut pauvre et misérable,
Et mourut de même
L'année M.D.LXXIX.

Ἐν ἄλλοις καὶ ὁ Σισμόνδιος περιγράφει ἐν συντόμῳ τὸν βίον καὶ τὸν θάνατον τοῦ Καμοένου, λέγων· "Le Camoens vécut ignoré et mourut misérable, quoique dès ses premières années, et avant son voyage aux Indes, il eût donné des preuves de son prodigieux talent pour les vers. La Lusiade même, dont il se fit deux éditions en 1572, n'attira point sur lui l'attention de ses compatriotes, ou les bienfaits de son prince; et pendant les sept années qu'il vécut encore, il soutint sa malheureuse existence par des aumônes qu'on accordait, non au poète immortel, à l'homme qui a illustré sa nation, mais à l'esclave inconnu qui errait pour lui dans les rues, sans prononcer son nom." Sismondi: De Littérature du Midi de l'Europe, tom. iv. p. 429, troisième édition. Ἴδε αὐτόθι καὶ τὸ κεφάλαιον ΛΖ', ἐν ἀρχῇ, καὶ τὸν βίον τοῦ Καμοένου ἐν τῇ Nouvelle Biographie générale.

οἱ πρῶτοι τὸν φωτισμὸν ἐκεῖνον διαδόντες, καὶ ἀθανάτοις ἀμείβονται τιμαῖς οἱ πρὸ πολλῶν αἰώνων ἄδοξοι καὶ πένητες ἀποθανόντες θεμελιωταὶ τῆς ἐθνικῆς μεγαλειότητος· τότε ἐγείρονται ναοὶ τῷ Ὁμήρῳ· τότε συγκροτοῦνται πανηγύρεις ἐθνικαὶ ἐν τῇ γενεθλίῳ ἡμέρᾳ τοῦ Δάντου καὶ Σακεσπήρου καὶ Μίλτωνος· τότε οἱ δύο μέγιστοι τῆς Ἀγγλίας ποιηταὶ τιμῶνται καὶ θαυμάζονται, ὥς τις Πηγάσων ξυνωρίς, ἀνελκύσασα τὸ ἐθνικὸν ἅρμα ἐκ τῆς ἰλύος τῆς ἀμαθείας, καὶ προαγαγοῦσα αὐτὸ εἰς τοὺς εὐφόρους καὶ ἀνθοστολίστους λειμῶνας τῆς μαθήσεως, ἐξ ἧς ἐπῆλθεν ὁ πολιτισμὸς καὶ ἡ ἐπίζηλος πολιτικὴ καὶ ἠθικὴ εὐδαιμονία· καὶ τότε τέλος πάντων, δημοσιευομένου ἑνὸς τῶν ποιημάτων τοῦ Βύρωνος "The Corsair," πωλοῦνται ἐν ἡμέρᾳ μιᾷ 14,000 ἀντιτύπων ἐν αὐτῷ ἐκείνῳ τῷ ἔθνει, ἐν ᾧ πρὸ δύο αἰώνων ἅπαν τὸ θαυμαστὸν τοῦ Μιλτωνος ποίημα, ἐκ στίχων 10,565 συγκείμενον, ἐτιμήθη μόλις Λιρῶν ΔΕΚΑ.[1]

Καὶ ταῦτα μὲν ταύτῃ. Τοῦ δὲ ἡμετέρου ποιητοῦ τὴν ἐν τῷ βίῳ ταλαιπωρίαν καὶ τὴν μετὰ θάνατον δόξαν ἄριστα ἐξεικόνισεν ὁ εὐφυὴς συγγραφεὺς τοῦ ἄρτι μνημονευθέντος συγγράμματος "περὶ ἀρχῆς καὶ προόδου τῶν τεχνῶν ἐν τῇ Ἑλλάδι" καὶ ἐν τοῖς λόγοις αὐτοῦ συμπληροῦμεν καὶ ἡμεῖς τὸ παρὸν κεφάλαιον περὶ βίου τοῦ Ὁμήρου.—Il trouva depuis sa mort des hommes qui lui élevèrent des statues et des temples; mais il n'en trouva pas de son vivant qui lui donnassent de quoi vivre. La sublimité de son génie ne put lui procurer un asile dans ces mêmes villes qui se disputèrent l'honneur de l'avoir vu naître: elles frappèrent des monnaies avec son effigie; ces monnaies portaient son nom; mais il n'en posséda jamais. Il vécut et mourut dans une excessive pauvreté.[2]

---

[1] Ἴδε τὸν βίον τοῦ ἀθανάτου Λόρδου Βύρωνος ὑπὸ Thomas Moore, καὶ ἐν τῇ καλουμένῃ Penny Cyclopædia.

[2] Recherches sur l'Origine, l'Esprit et les Progrès des Arts de la Grèce, tom. ii. p. 294.

ΣΥΜΠΕΡΑΣΜΑ ΤΟΥ Β' ΚΕΦΑΛΑΙΟΥ.

Ἐκ τῶν ἐν τῷ παρόντι κεφαλαίῳ περὶ πατρίδος, γονέων καὶ ἀκμῆς Ὁμήρου ἱστορηθέντων, τί τάχα συμπεραίνεται ὁριστικόν, ἢ τοὐλάχιστον πιθανόν, ὅπερ προσήκει νὰ δοξάζωσι περὶ τοῦ ποιητοῦ παῖδες Ἑλλήνων, οἱ ἀνὰ χεῖρας φέροντες καὶ μελετῶντες τὰ ἀθάνατα αὐτοῦ ποιήματα; Πρὸς τὴν τοιαύτην ἐρώτησιν εὔλογον νομίζω τήνδε τὴν ἀπάντησιν.

Ἐν γένει μὲν εἰπεῖν, τὰ περὶ Ὁμήρου τοσοῦτόν εἰσιν ἄδηλα καὶ ἀσαφῆ δι' ἔλλειψιν πάσης πληροφορίας ἔκ τε τῶν ποιημάτων αὐτοῦ καὶ τῶν ἀρχαιοτέρων συγγραφέων, ὡς ἐν ἀρχῇ τοῦδε τοῦ κεφαλαίου ἐλέγομεν, ὥστε τὸ ἐν Ὀδυσσείᾳ παρὰ τοῦ Τηλεμάχου εἰρημένον πρὸς τὴν Ἀθηνᾶν, ὅτε ὑπὸ τὸ σχῆμα τοῦ Μέντου κατέβη εἰς τὸν οἶκον τοῦ Ὀδυσσέως, εἰς οὐδένα ἄλλον ἐφαρμόζεται καταλληλότερον, ἢ εἰς αὐτὸν τὸν ποιήσαντα·

Τίς, πόθεν εἶς ἀνδρῶν; πόθεν τοι πόλις ἠδὲ τοκῆες; [1]

Ὅμως δὲ ῥητέον, τί περὶ τούτου ἀρκεῖ νὰ δοξάζωσι πάντες οἱ Ἕλληνες, ἄλλοις μὲν καταλείποντες τὰς ματαίας περὶ τοῦ ποιητοῦ ζητήσεις, αὐτοὶ δὲ περὶ τὰ ποιήματα αὐτοῦ σπουδάζοντες, καὶ τὴν ἐκ τῆς τοιαύτης μελέτης πραγματικὴν ἐκζητοῦντες ὠφέλειαν.

α') Περὶ μὲν πατρίδος τοῦ ποιητοῦ, ὅπου δήποτ' ἐγεννήθη, εἴτε ἐν τῇ Ἀσιατικῇ, εἴτε ἐν τῇ Εὐρωπαϊκῇ Ἑλλάδι, καὶ εἴτε ἐν Χίῳ, εἴτε ἐν Σμύρνῃ, ὁ Ὅμηρος ἦν Ἕλλην, καί, ὡς εἶπεν ὁ τὸ εἰς Πεισίστρατον ποιήσας ἐπίγραμμα,

ἡμέτερος δὴ κεῖνος ὁ χρύσσεος ἦν πολιήτης· [2]

τὰ δὲ ποιήματα αὐτοῦ εἰσί, καὶ ἔσονται ἐσαεί, τὸ λαμπρότατον τῆς Ἑλληνικῆς μεγαλοφυΐας μνημεῖον. Ἀλλά, καθ' ὅσον ἐκ τῆς ἀκριβείας τῶν τοπικῶν περιγραφῶν αὐτοῦ εἰκάζεται, καὶ κατὰ τὴν κοινοτέραν τῆς ἀρχαιότητος γνώμην, ῥητέον, ὅτι ἐγεννήθη ὑπὸ τὸν αἴθριον καὶ ποιητικὸν οὐρανὸν τῆς Ἰωνίας.

---

[1] Ὀδυσ. Α, 130.

[2] Ἴδε τὸ ἐπίγραμμα τοῦτο ἐν τοῖς ἔμπροσθεν (σελ. 13.)

β´) Περὶ δὲ γονέων αὐτοῦ, ὅτι ἔσχε καὶ ὁ ποιητής, ὡς πάντες οἱ ἄνθρωποι, ἕνα πατέρα καὶ μίαν μητέρα, ὧν ἀγνοοῦνται τὰ ὀνόματα, οὐδὲ νὰ ζητῶνται προσήκει, ὡς οὐδεμιᾶς προσγινομένης ἐκ τῆς ἀγνοίας αὐτῶν ζημίας· αἱ δὲ περὶ τούτου γνῶμαι τῶν βιογράφων τοῦ ποιητοῦ εἰσὶ πάντως ἀνυπόστατοι.[1]

γ´) Περὶ δὲ τοῦ ὀνόματος αὐτοῦ, ὅτι ἐκαλεῖτο Ὅμηρος, καὶ οὐδὲν πλέον.

δ´) Περὶ δὲ τοῦ χρόνου, καθ' ὃν ἤκμασεν (ὅπερ καὶ οὐσιῶδές ἐστι, καὶ ἐκ τῶν ποιημάτων αὐτοῦ δυνατὸν νὰ ἀρύηται τὴν προσήκουσαν ἀπόδειξιν), ὅτι ἤκμασε μεταξὺ τοῦ Τρωϊκοῦ πολέμου καὶ τῆς τῶν Ἡρακλειδῶν καθόδου· ἴσως δὲ καὶ ἐπέζησε μετὰ τὴν κάθοδον ἐκείνην, ἀλλ' ἀπέθανε, πρὶν ἢ μάθῃ τὰ περὶ αὐτῆς. Ὅσα ἂν εἴπωσιν οἱ θέλοντες νὰ δείξωσι τὸν ποιητὴν πολλὰ μετὰ τὴν κάθοδον τῶν Ἡρακλειδῶν ἀκμάσαντα ἔτη, δικαιολογοῦντες τὴν περὶ ταύτης σιωπὴν αὐτοῦ, δυσκόλως, νομίζω, δύναταί τις νὰ πιστεύσῃ, ὅτι

---

[1] Εἴδομεν ἀνωτέρω, πόσον εὐφυῶς ὁ Λουκιανὸς κατέσκωψε τὰς περὶ πατρίδος καὶ γονέων Ὁμήρου γνώμας τῶν βιογράφων αὐτοῦ. Ἀλλὰ καὶ ὅ, τι συνέβη εἰς ἐμέ, ἀναγινώσκοντα τὴν περὶ τοῦ τάφου τοῦ Ὁμήρου πραγματείαν τοῦ Ὀλλανδοῦ Κόμητος Pasch di Kriener, περὶ ἧς ἄρτι ἐλέγομεν (σελ. 25), ἱκανῶς ἀποδεικνύει τὸ ἀνυπόστατον τῶν παντοίων ἐκείνων γνωμῶν. Ἀναγινώσκων ἐν τῇ πραγματείᾳ ἐκείνῃ, ὅτι ὁ Κόμης ἐπιθυμήσας ν' ἀνασκάψῃ τὸν τόπον, ἔνθα ἐνόμιζεν ὅτι ἔκειντο τὰ ὀστᾶ τοῦ Ὁμήρου, κατέφυγεν εἰς τὸν τότε πρῶτον Σύνδικον ἢ προεστῶτα τῆς νήσου Ἴου, τὸν Σπυρίδωνα Βαλέτταν, ὃν ἀποκαλεῖ ἄνθρωπον εὐγενῶν καὶ πεπολιτισμένων ἠθῶν (persona di civili e cortesi costumi), καὶ παρ' αὐτοῦ ἔλαβεν, ὡς λέγει, πᾶσαν συνδρομὴν εἰς ἀνασκαφὴν τοῦ τόπου, ἔστην ἐπὶ πολὺ διαλογιζόμενος, ποίαν ἔχω ἐγὼ συγγένειαν πρὸς τὸν μνημονευόμενον Σπυρίδωνα Βαλέτταν. Ἀλλὰ καὶ πολλὰ κατ' ἐμαυτὸν διασκεπτόμενος, καὶ εἴ τι ἔτυχον ἔχων περὶ τῆς ἡμετέρας οἰκίας πατρικὸν σημείωμα συμβουλευόμενος, οὐδὲν ἠδυνήθην νὰ εὕρω ὁριστικὸν περὶ τούτου· ἀλλὰ μόνον εἴκασα, ὅτι ὁ ὑπὸ τοῦ Ὀλλανδοῦ μνημονευόμενος Σπυρίδων Βαλέττας, ὁ τότε Σύνδικος τῆς Ἴου, ἦν ἴσως ἀδελφὸς ἢ πατὴρ τοῦ πάππου μου Παύλου Βαλέττα, ἐξ Ἴου εἰς Σίφνον μεταναστεύσαντος περὶ τὸ 1760, καὶ ἀποκαταστάντος ἐκεῖ. Καὶ λοιπόν, εἶπον τότε κατ' ἐμαυτόν, εἴπερ ἐγώ, ἕνα μόλις αἰῶνα ἀπέχων ἀπὸ τοῦ συγγενοῦς μου ἐκείνου, μηδὲν δύναμαι νὰ εὕρω βέβαιον περὶ τῆς πρὸς αὐτὸν συγγενείας μου, πῶς οἱ μετὰ δέκα καὶ δώδεκα αἰῶνας γράψαντες βίον Ὁμήρου, οὐδὲν ἔχοντες πρὸς ὁδηγίαν ἑαυτῶν, οὔτε ἐκ τοῦ ποιητοῦ αὐτοῦ, οὔτε ἐξ ἄλλου τινός, ἠδυνήθησαν οὕτως εὐχερῶς νὰ ὁρίσωσι καὶ την πατρίδα καὶ τοὺς γονεῖς καὶ τὸν διδάσκαλον τοῦ ποιητοῦ, ναὶ μὴν καὶ τὸν κυβερνήτην τοῦ πλοίου, ἐν ᾧ διέπλεε περιηγούμενος, καὶ τὸν ἐν Ἰθάκῃ νοσηλεύσαντα αὐτόν, καὶ τὸν ἐν Χίῳ φιλοξενήσαντα αὐτὸν ποιμένα, καὶ ἄλλα τοιαῦτα, ὅσα περὶ τοῦ ποιητοῦ ἱστόρησαν;

ἔργον τόσῳ μέγα ἐν τῇ ἀρχαιοτάτῃ ἐκείνῃ ἐποχῇ, ὅπερ μετέβαλε πάσας τὰς ἐν Πελοποννήσῳ δυναστείας, καὶ τὴν ἄλλην Ἑλλάδα συνετάραξε, καὶ πολλῶν Ἑλληνικῶν ἀποικιῶν ἐγένετο αἰτία, ἔργον, ὅπερ ἠδύνατο καθ' ἑαυτὸ ν' ἀποτελέσῃ ὑπόθεσιν ἐπικοῦ ποιήματος, πολλῷ τῆς Ἰλιάδος μακροτέρου, ἔργον τοιοῦτον οὐδεμίαν εἶχε χώραν ἐν τοῖς Ὁμηρικοῖς ποιήμασι, καὶ μάλιστα ἐν τῇ Ὀδυσσείᾳ, ἐν ᾗ πολλὰ τῶν μετὰ τὴν ἅλωσιν τῆς Τροίας παρεμβάλλονται, εἰς ἐντελῆ περιγραφὴν γενεαλογιῶν, καὶ ἀρχῆς δυναστειῶν, καὶ μεταβολῆς αὐτῶν κ. τ. λ. Παρὰ τὸ ἰσχυρὸν τοῦτο τεκμήριον, τὴν περὶ καθόδου τῶν Ἡρακλειδῶν σιωπὴν τοῦ ποιητοῦ, καὶ ἄλλο οὐχ ἧττον ἰσχυρὸν παρατηρεῖται ἐν τῇ Ἰλιάδι, ἔνθα ὑποδείκνυται, ὅτι ὁ ποιητὴς ἐπεῖδε βασιλεύοντας ἐν Τροίᾳ τοὺς παῖδας τοῦ Αἰνείου· διότι παρίστησι τὸν Ποσειδῶνα τάδε περὶ τούτου προφητεύοντα·

> *ἤδη γὰρ Πριάμου γενεὴν ἤχθηρε Κρονίων·*
> *νῦν δὲ δὴ Αἰνείαο βίη Τρώεσσιν ἀνάξει*
> *καὶ παῖδων παῖδες, τοί κεν μετόπισθε γένωνται.*[1]

Οὕτω καί ἀλλαχοῦ πολλάκις ἔν τε τῇ Ἰλιάδι καὶ ἐν τῇ Ὀδυσσείᾳ παρενείρει ὁ ποιητὴς πολλὰ τῶν μετὰ τὴν ἅλωσιν τῆς Τροίας γεγονότων, ἅπερ ἐπεῖδεν. Διὰ τί λοιπὸν περὶ τῆς τῶν Ἡρακλειδῶν καθόδου οὐδὲν οὐδαμοῦ λέγει, εἰ μὴ διότι ἠγνόει τὸ ἔργον ἐκεῖνο; Ἐπὶ πᾶσι τούτοις καὶ τὸ περὶ καταστροφῆς

---

[1] Ἰλιάδ. Υ, 306—9. *Περὶ τῆς προφητείας ταύτης καὶ ὁ σχολιαστὴς Διονυσίου τοῦ Θρᾳκὸς ἐν τῷ περὶ ῥαψῳδίας λέγει. "Οὐκ ἂν γὰρ εἴη τέλειος ὁ ποιητής, εἰ μὴ ἱστορήσει καὶ διηγήσεται καὶ μαντεύσεται· ὡς καὶ ὁ Ποιητὴς φαίνεται μαντευσάμενος ἐν οἷς φησιν ἐκ προσώπου τοῦ Ποσειδῶνος, "Νῦν δὲ δὴ Αἰνείαο βίη κ. τ. λ." Ἴδε Βιλλοισῶνος Ἀνέκδ. Ἑλλην. τόμ, Β', σελ. 186. σημ. ά. καὶ Φαβρικ. Ελ. Β. τόμ. Α', σελ. 370. ἔπιθι δὲ καὶ Γλάδστωνα* (Studies on Homer, &c. prolegom. p. 37) *καὶ* R. Wood's Essay on the Original Genius, &c. of Homer, p. 215—223. *Σημειωτέον δέ, ὅτι δύο ὑπῆρξαν περὶ Αἰνείου παραδόσεις· ἡ μέν, ὅτι μεταναστεύσας εἰς Ἰταλίαν ἐβασίλευσεν ἐκεῖ (ὅπερ δὴ καὶ γίνεται τῆς Οὐϊργιλίου Αἰνειάδος ὑπόθεσις)· ἡ δέ, ὅτι μείνας ἐν τῇ Ἀσίᾳ ἐβασίλευσε τῆς Τροίας, ἐκλιπόντων τῶν Πριαμιδῶν. Κατὰ δὴ ταύτην τὴν παράδοσιν, τὴν παρ' Ἕλλησιν ἐπικρατοῦσαν, εὐλόγως εἰκάζεται, ὅτι ὁ ποιητὴς ἐσχημάτισε τὴν τοῦ Ποσειδῶνος προφητείαν, ἐξ ὧν ἐπεῖδε βασιλεύοντας τοὺς παῖδας τοῦ Αἰνείου.—Ἴδε περὶ τούτου Στράβωνα (σελ.* 607 *καὶ* 608) *καὶ Εὐστάθιον ἐν Ἰλιάδι σελ.* 1209, *κὰι τὰ Βενετ. σχόλια. Ταύτην τὴν περὶ Αἰνείου παράδοσιν παραδέχεται ὡς ὀρθοτέραν καὶ ὁ* Wood *(ἔνθ. ἀν. σελ.* 196 *κ. ἑξ), ἅμα παρατηρῶν, ὅτι ὁ ποιητὴς ἐν Ἀσίᾳ ποιήσας τὴν Ἰλιάδα, ἔνθα πάντες ἐγίνωσκον τὰ μετὰ τὴν ἅλωσιν τῆς Τροίας γενόμενα, ἀδύνατον ἦν νὰ ἐκφράσῃ τοιαύτην ἰδέαν, εἴπερ*

τοῦ τείχους, ὃ ἀνήγειραν οἱ Ἕλληνες περὶ τὰς ναῦς, ἑρμηνεύεται ὑπὸ τῶν ἀρχαίων σχολιαστῶν, ὡς ὑποδεικνύον τοῦ ποιητοῦ τοὺς χρόνους οὐ μετὰ πολὺ τῶν Τρωϊκῶν.[1] Διὰ ταῦτα δυσκόλως, νομίζω, δύναταί τις νὰ πιστεύσῃ, ὅτι ὁ Ὅμηρος ἤκμασε μετὰ τὴν τῶν Ἡρακλειδῶν κάθοδον, ἢ ὅτι ἀκμάσας μετ' αὐτήν, καὶ γινώσκων αὐτήν, ἑκὼν ἐσιώπησε τὰ περὶ τοῦ μεγάλου ἐκείνου ἔργου, διότι, ὡς λέγει ὁ Εὔνιος, ἐγκωμιάσας τὴν τῶν Πελοπιδῶν δυναστείαν, οὐκ εἶχεν ἀφορμήν, οὐδ' ἔπρεπεν ἴσως νὰ ἱστορήσῃ τὴν καταστροφὴν τῆς δυναστείας ἐκείνης.[2] Πολὺ δὲ δυσκολώτερον πιστεύσει τις εἰς τοῦτο, ἐὰν παραδεχθῇ τὴν γνώμην τῶν κατὰ τῆς ἑνότητος τοῦ ποιητοῦ ἀποφαινομένων, καὶ δογματιζόντων, ὅτι ἡ Ἰλιὰς καὶ ἡ Ὀδύσσεια ἐποιήθησαν οὐχ ὑφ' ἑνός, ἀλλ' ὑπὸ πολλῶν ποιητῶν, ἄλλου ἄλλο ποιήσαντος μέρος. Καὶ πῶς; ἦν ἆρα δυνατόν, εἴπερ πολλοὶ καὶ παντοῖοι ἦσαν οἱ τὰ ποιήματα ἐκεῖνα ποιήσαντες, νὰ μὴ μνημονεύσῃ τις ἐξ αὐτῶν τοῦ μεγάλου ἐκείνου συμβάντος, καὶ τῶν ἐξ αὐτοῦ προελθουσῶν μεταβολῶν; ἢ μήπως οἱ τὰ τεμάχια ἐκεῖνα συῤῥάψαντες, καὶ πρῶτοι γραφῇ παραδόντες ἐπὶ Πεισιστράτου (ὡς οἱ περὶ Οὐόλφιον δογματίζουσιν) ἐπελάθοντο νὰ συῤῥάψωσι καὶ τὸ τεμάχιον τοῦτο, ἢ ἀπέῤῥιψαν αὐτὸ ὡς ἄχρηστον;

Καὶ λοιπόν, εἴποι τις ἄν, ἐὰν ταῦτα οὕτως ἔχοντα παραδεχθῶμεν, ὁ χρόνος τῆς Ὁμήρου ἀκμῆς κεῖται ἐν τῷ ΙΒ' αἰῶνι, μεταξὺ τοῦ 1184, ὅτε ἑάλω ἡ Τροία, καὶ τοῦ 1104, ὅτε, κατὰ τὸν Θουκυδίδην,[3] ἐγένετο ἡ τῶν Ἡρακλειδῶν εἰς Πελοπόννησον κάθοδος. Εἴ τις ταῦτα λέγει, ἐνθυμηθήτω,

---

ἄλλως εἶχε τὸ πρᾶγμα, καὶ οἱ Αἰνείου ἀπόγονοι ἐβασίλευον ἐν Ῥώμῃ· προστίθησι δέ, ὅτι μόνον ὑπὸ Ῥωμαίων ποιητῶν καὶ συγγραφέων ἱστορεῖται ἡ εἰς Ῥώμην τοῦ Αἰνείου μετάβασις· ἀλλ' ἐναντίον τούτων ἡ ἀρχαιοτάτη τοῦ Ὁμήρου μαρτυρία ἐστὶν ἀναμφισβήτητος διὰ τὸν προειρημένον ἰσχυρότατον λόγον. Τούτοις δὲ προσθετέον, ὅτι ἡ περὶ Αἰνείου καὶ τῶν παίδων αὐτοῦ προφητεία ἐπαναλαμβάνεται ἐν τῷ εἰς Ἀφροδίτην ὕμνῳ (στ. 197), ἔνθα ἡ θεὰ παρίσταται λέγουσα τῷ Ἀγχίσῃ.

Σοὶ δ' ἔσται φίλος υἱός, ὃς ἐν Τρώεσσιν ἀνάξει
Καὶ παῖδες παίδεσσι διαμπερὲς ἐκγεγάονται.

[1] *Ἰλιάδ. Μ, ἐν ἀρχῇ· ἔνθα σημειοῦται ἐν τοῖς Βεν. σχολίοις· "Λάβοι δ' ἄν τις καὶ τοῦτο πρὸς τοὺς χρόνους τοῦ ποιητοῦ, διότι οὐ μετὰ πολὺ τῶν Τρωϊκῶν γέγονεν."*

[2] *Ἴδε Εὐνίου παρεκβολὴν εἰς Ἰλιάδ. Ω.*

[3] *Ξυγγραφὴ Α', § 12.*

ὅτι ἐν γένει ἡ πρὸ τῶν Ὀλυμπιάδων Ἑλληνικὴ χρονολογία ἐστὶν ἀσαφὴς δι' ἔλλειψιν ἱστορικῶν μνημείων, καὶ ὅτι διὰ τοῦτο τὰ κατὰ τὴν ἐποχὴν ἐκείνην συμβάντα τάσσονται ὑπὸ τῶν συγγραφέων κατὰ παντοίας καὶ πολὺ πολλάκις ἀφισταμένας ἀλλήλων ἐποχάς.[1] Οὕτως ἄρα καὶ τὸ ἔτος τῆς ἁλώσεως τῆς Τροίας διαφόρως ὑπὸ πολλῶν ὡρίσθη·[2] δύο δὲ ἐπεκράτησαν πρὸ τῶν ἄλλων χρονολογίαι, ἡ μὲν τοῦ Ἐρατοσθένους, τάσσοντος τὴν ἅλωσιν ταύτην τὸ 1184 ἢ 1183 (ᾧ συνεφώνησαν ἐφεξῆς καὶ Διόδωρος ὁ Σικελιώτης, Διονύσιος ὁ Ἁλικαρνασσεύς, Τατιανός, Κλήμης ὁ Ἀλεξανδρεύς, Εὐσέβιος, καὶ πάντες οἱ Ῥωμαῖοι ἱστορικοί), ἡ δὲ τοῦ Καλλιμάχου καὶ Φανίου (περὶ ὧν καὶ ἐν τῷ χρονολογικῷ πίνακι τῆς Ὁμήρου ἀκμῆς ἐλέγομεν),[3] τασσόντων τὴν ἅλωσιν τῆς Τροίας τὸ 1127· καὶ πρὸς τὴν χρονολογίαν ταύτην φαίνονται συμβιβαζόμενοι καὶ τῶν ἀρχαιοτέρων οἱ ὑπολογισμοί. Οὕτως ὁ Ἰσοκρατης ἐν τρισὶ τῶν λόγων αὐτοῦ μνημονεύσας τῆς ὑπὸ τῶν Δωριέων κυριεύσεως τῆς Λακωνικῆς, λέγει, ὅτι πρὸ ἑπτακοσίων ἐτῶν ἐγκατέστησαν ἐκεῖ·[4] ὁ δὲ τοιοῦτος ὑπολογισμὸς τοῦ Ἰσοκράτους, κατὰ

---

[1] Ὁ Ἀφρικανὸς παρ' Εὐσεβίῳ (Εὐαγ. Προπ. Ι', 10) λέγει περὶ τούτου· "Μέχρι μὲν "Ὀλυμπιάδων οὐδὲν ἀκριβὲς ἱστόρηται τοῖς Ἕλλησι, πάντων συγκεχυμένων, καὶ κατὰ "μηδὲν αὐτοῖς τῶν πρὸ τοῦ συμφωνούντων." ὁ δὲ Φώτιος περὶ τῆς Φλέγοντος Χρονολογικῆς συναγωγῆς λέγει. "Ἄρχεται δὲ τῆς συναγωγῆς ἀπὸ τῆς Α' Ὀλυμπιάδος· διότι τὰ πρότερα, "καθὼς καὶ οἱ ἄλλοι σχεδόν τι πάντες φασίν, οὐκ ἔτυχεν [ὑπό] τινος ἀκριβοῦς καὶ ἀληθοῦς "ἀναγραφῆς, ἀλλ' ἄλλο τι ἄλλος τῶν ἐπιτυχόντων καὶ οὐ συμφώνως ἔγραψαν, ὅσοις καὶ "γράψαι πεφιλοτίμηται." (Μυριοβ. Ἀνάγνωσμα 97.)

[2] Ἴδε τὰς διαφόρους ταύτας χρονολογίας παρὰ Κλίντωνι (τόμ. Α', σελ. 123—140, καὶ τόμ. Β', εἰσαγωγή) μετὰ πολλῆς ἀκριβείας ἐξεταζομένας· αὐτόθι δὲ σημειοῦνται καὶ οἱ ὑπὲρ τὸ 1184 ἀναβιβάζοντες τὴν ἅλωσιν τῆς Τροίας, ἐν οἷς Δοῦρις ὁ Σάμιος χρονολογεῖ αὐτὴν ἐν ἔτει 1335· μαρτυρεῖ δὲ τοῦτο Κλήμης (ἐν Στρωμ. Α', σελ. 337) λέγων· "ὡς δὲ "Δοῦρις, ἀπὸ Τροίας ἁλώσεως ἐπὶ τὴν Ἀλεξάνδρου εἰς Ἀσίαν διάβασιν (334 πρὸ Χρ.) ἔτη χίλια. Ἀλλὰ καὶ ὁ Ἡρόδοτος, ὡς ἀνωτέρω (ἐν τῷ πίνακι ὑπὸ τὸ ἔτος 409) εἴδομεν, ἔτασσε τὴν ἅλωσιν τῆς Τροίας ὑπὲρ τὰ 800 ἔτη πρὸ ἑαυτοῦ, ὅπερ ὑπερβαίνει τὴν Ἐρατοσθένους χρονολογίαν κατὰ 90 περίπου ἔτη.

[3] Ἴδε τὸν πίνακα ὑπὸ τὸ ἔτος 409.

[4] Ἐν μὲν Ἀρχιδάμῳ (§ 4), ὃν ἔγραψε τὸ 366 πρὸ Χριστοῦ, λέγει· "Τὴν γὰρ δόξαν, ἣν ἡμῖν οἱ πρόγονοι μετὰ πολλῶν κινδύνων ἐν ἑπτακοσίοις ἔτεσι κατέλιπον, ταύτην ἐν ὀλίγῳ χρόνῳ πείθουσιν ἡμᾶς ἀποβαλεῖν." ἐν δὲ τῷ Παναθηναϊκῷ (§ 82), ὃν ἔγραψε περὶ τὸ 340, λέγει· "Καὶ μετὰ ταῦτα πόσος χρόνος ἐστίν, ἐξ οὗ Σπαρτιᾶται τυγχάνουσιν ἐν

μέσον ὅρον λαμβανόμενος, ὁρίζει τὴν τῶν Ἡρακλειδῶν κάθοδον περὶ τὸ 1040 πρὸ Χριστοῦ, καὶ ἑπομένως τὴν ἅλωσιν τῆς Τροίας περὶ τὸ 1120, ὅπερ προσεγγίζει εἰς τὸ τοῦ Καλλιμάχου καὶ Φανίου ἔτος, τὸ 1127. Κατὰ δὴ ταῦτα καὶ ἡ Ὁμήρου ἀκμὴ συμπίπτει περὶ τὸ 1040, ὅπερ ἐστὶ τὸ ὑπὸ τοῦ Ἀριστοτέλους καὶ Ἀριστάρχου ὁριζόμενον ἔτος, ὡς ἐν τῷ πίνακι δείκνυται.[1] Ὑπάρχουσιν ὅμως καὶ οἱ τὴν ἅλωσιν τῆς Τροίας κάτωθεν τοῦ 1000^ου^ ἔτους καταβιβάζοντες. Οὕτως ὁ διάσημος Ἰσαὰκ Νεύτων ἐν τῇ χρονολογίᾳ αὐτοῦ,[2] ἐκ διαφόρων συγγραφέων ἀρυόμενος ἀποδείξεις, τὴν μὲν ἅλωσιν τῆς Τροίας τίθησιν ἐν ἔτει 904, τὴν δὲ τῶν Ἡρακλειδῶν κάθοδον ἐν ἔτει 825, τὴν δὲ Ὁμήρου καὶ Ἡσιόδου ἀκμὴν ἐν ἔτει 870, καὶ τὴν εἰς τὴν Ἑλλάδα μετακόμισιν τῶν Ὁμηρικῶν ἐπῶν ὑπὸ Λυκούργου ἐν ἔτει 710· οὕτω δὲ εὑρίσκει τὴν Ὁμήρου ἀκμὴν συμπίπτουσαν τῷ χρόνῳ, ὃν ὁ Ἡρόδοτος ὡρίσατο, καὶ περὶ οὗ ἐν τῷ πίνακι (ὑπὸ τὸ ἔτος 409) εἴπομεν.

Ἡ ἔλλειψις λοιπὸν ἀκριβοῦς πρὸ τῶν Ὀλυμπιάδων χρονολογίας, καὶ τὸ δυσσυμβίβαστον, ἢ μᾶλλον ἀσυμβίβαστον, τῶν πολλῶν καὶ παντοίων χρονολογιῶν, αἵτινες προκύπτουσιν ἐκ τῶν μεταγενεστέρων συγγραφέων, καὶ τούτων ἐξ ἰδίας εἰκασίας ὁριζόντων τὸ ἔτος τῆς ἁλώσεως τῆς Τροίας, οὐδεμίαν καταλείπει διέξοδον ἀσφαλῆ ἐκ τοῦ χρονολογικοῦ τούτου λαβυρίνθου· καὶ οὐδέν, νομίζω, δύναται νὰ ταχθῇ ἔτος τῆς ἁλώσεως τῆς Τροίας ἀνεπίδεκτον ἀμφισβητήσεως, ὥστε ὁδηγούμενοι ἐντεῦθεν νὰ ὁρίσωμεν ὡς ἔγγιστα τὸ ἔτος τῆς γεννήσεως, ἢ τὴν ἀκμὴν τοῦ Ὁμήρου. Τὸ δὲ λέγειν κατὰ τὰ προειρημένα, ὅτι ὁ Ὅμηρος ἤκμασε μεταξὺ τῆς ἁλώσεως τῆς Τροίας καὶ τῆς τῶν Ἡρακλειδῶν καθόδου, ἢ καὶ ἐπέζησε μικρὸν μετ' αὐτήν, ὡς ἀποδεικνυόμενον, ἢ τοὐλάχιστον τεκμηριούμενον ἐξ αὐτῶν τῶν Ὁμηρικῶν ποιημάτων, δίδωσιν

Πελοποννήσῳ κατοικοῦντες; . . . . Σπαρτιάτας δὲ ἐνταῦθα κατοικεῖν οὐ πλείω φήσουσιν ἐτῶν ἑπτακοσίων." Ἀλλὰ καὶ ἐν τῷ περὶ εἰρήνης ἢ Συμμαχικῷ (§ 32), *ὃν ἔγραψε τὸ* 356, *λέγει· "Τὴν γὰρ πολιτείαν, ἣν ἑπτακοσίοις ἔτεσιν οὐδεὶς οἶδε . . . . κινηθεῖσαν, ταύτην ἐν ὀλίγῳ χρόνῳ σαλευθῆναι καὶ λυθῆναι παρὰ μικρὸν ἐποίησαν."—Ἴδε Κλίντωνα (ἔνθ. ἀν.) ἐπιτυχῶς διορθοῦντα τὸ ἁμάρτημα, εἰς ὃ περιέπεσεν ὁ Ἱερώνυμος Οὐόλφιος, καὶ ἐξ ἐκείνοι ὁ ἡμέτερος Κοραῆς, κακῶς ὑπολαβόντες, ὅτι εἰς τὸν Λυκοῦργον ἀνάγει τὸν χρόνον ὁ Ἰσοκράτης.*

[1] *Ἴδε τὸν πίνακα ὑπὸ τὸ ἔτος* 140.

[2] Chronologie of Ancient Kingdoms, by Isaac Newton. London, 1728, p. 29—35.

ὡρισμένην τινὰ περίοδον χρόνου, ἐν ᾗ δύναταί τις νὰ ἐννοήσῃ τὴν ἀκμὴν τοῦ ποιητοῦ μετὰ λόγου τοῦ προσήκοντος.

Ταῦτα περὶ ἡλικίας Ὁμήρου ἐκτενέστερον εἰπόντες, διότι ἡ περὶ τούτου ζήτησις καὶ οὐσιωδεστέρα τῶν ἄλλων ὑπάρχει, καὶ ἐξ αὐτῶν τῶν ποιημάτων αὐτοῦ δυνατὸν νὰ ἀρύηται τὰς ἀποδείξεις, περὶ τῶν ἄλλων ἁπάντων, πατρίδος δηλονότι, καὶ γονέων, καὶ ὀνόματος, ματαίαν νομίζομεν πᾶσαν ἔρευναν. Καταλείποντες λοιπὸν τὴν τοιαύτην ἔρευναν εἰς τοὺς ὅπως δήποτε ἐπιθυμοῦντας νὰ ματαιοπονῶσιν, ἀρκούμεθα εἰς τὴν περὶ τούτου εὐφυεστάτην ἔκφρασιν ἑνὸς τῶν ἡμετέρων σοφῶν, εἰπόντος πρὸ πεντήκοντα ἤδη ἐτῶν, ὅτι "ὁ μέγας οὗτος ποιητὴς ὁμοιάζει τὸν ἥλιον κεκρυμμένον εἰς τὰ νέφη, τοῦ ὁποίου δὲν γνωρίζομεν τὴν παρουσίαν, εἰ μὴ ἀπὸ τὸ κάλλιστον ἔργον του, τὴν ἡμέραν·"[1] καὶ τὸ κάλλιστον τοῦτο τοῦ ποιητοῦ ἔργον, τοῦτ᾽ ἔστι τὰ θαυμαστὰ ἔπη αὐτοῦ, δεῦτε νῦν ἴδωμεν ὁποῖα καὶ πόσα, πρῶτον μὲν τὰ ψευδεπιγράφως εἰς αὐτὸν ἀποδιδόμενα μικρὰ ποιήματα ἐξετάζοντες ἐν συντόμῳ, ἔπειτα δὲ τὰ γνήσια διὰ μακροτέρων.

---

[1] Ἴδε Κ. Οἰκονόμου Γραμματικῶν ἢ ἐγκυκλίων παιδευμάτων τόμ. Α΄, σελ. 211, ἔκδ. ἐν Βιέννῃ τῆς Αὐστρίας, 1817.

ΚΕΦΑΛΑΙΟΝ Γ'.

Ὁμήρου ποιήματα μικρά (ψευδεπίγραφα).

1) *Βατραχομυομαχία.* — 2) *Ὕμνοι.* — 3) *Ἐπιγράμματα.* — 4) *Ἀγὼν Ὁμήρου καὶ Ἡσιόδου.*—5) *Ἀραχνομαχία.*—6) *Γερανομαχία.*—7) *Ψαρομαχία.*—8) *Αἲξ ἑπτάπεκτος.*—9) *Κέρκωπες.*—10) *Μαργίτης.*—11) *Ἐπιθαλάμια.*—12) *Ἐπικιχλίδες.*—13) *Γνῶμαι.*—14) *Εἰρεσιώνη.*—15) *Κάμινος ἢ Κεραμίς.*—16) *Ἀμαζόνια.*—17) *Θηβαῒς ἢ Ἀμφιάρεω ἐξέλασις ἢ εἰς Θήβας.*—18) *Ἐπίγονοι.*—19) *Οἰχαλίας ἅλωσις.*—20) *Κύπρια ἔπη.*—21) *Ἰλιὰς μικρά.*—22) *Νόστοι.*—23) *Κύκλος.*—24) *Φωκαῒς ἢ Φαιακίς.*—25) *Συμπέρασμα τοῦ Γ' κεφαλαίου.*

Παρὰ τὴν Ἰλιάδα καὶ τὴν Ὀδύσσειαν, τὰ δύο μεγάλα καὶ πασίγνωστα ποιήματα, ἡ ἀρχαιότης ἀπεδίδου τῷ Ὁμήρῳ καὶ ἕτερα μικρὰ εἰκοσιτέσσαρα· ὧν τινὰ μὲν διασωθέντα, ἔτι καὶ νῦν παραρτῶνται ἐν ταῖς ἐκδόσεσι τῶν δύο μεγάλων Ὁμηρικῶν ποιημάτων, τινὰ δὲ γινώσκονται μόνον ἐξ ὀνόματος, ὡς μνημονευόμενα ὑπὸ τῶν συγγραφέων. Μέλλοντες ἐφεξῆς (κεφ. Δ' καὶ Ε') νὰ γράψωμεν ἰδίᾳ καὶ ἐκτενέστερον περὶ τῶν δύο μεγάλων, καταριθμοῦμεν ἐνταῦθα τὰ μικρὰ καὶ ψευδεπίγραφα, τοῖς μὲν σωζομένοις παρασημειοῦντες τὰς περὶ τούτων γνώμας τῶν ἀρχαίων καὶ νεωτέρων, τοῖς δὲ ἀπολομένοις τοὺς μνημονεύοντας αὐτῶν συγγραφεῖς. Εἰσὶ δὲ τάδε·

1. Βατραχομυομαχία, ἢ κατὰ Σουΐδαν Μυοβατραχομαχία· ποιημάτιον συγκείμενον ἐκ 305 στίχων, καὶ ἐν ἑξαμέτρῳ ἡρωϊκῷ τόνῳ περιγράφον τρομεράν τινα, κατὰ τὸν ποιητὴν αὐτοῦ, μάχην βατράχων καὶ μυῶν, ὂν δὲ ἀπ' ἀρχῆς μέχρι τέλους γελοία τις παρῳδία τῆς Ἰλιάδος. Κατὰ μὲν τὸν Ψευδο-Ηρόδοτον, τὸ ποιημάτιον τοῦτο καί τινα ἄλλα ἐποίησεν ὁ Ὅμηρος ἐν Βολισσῷ τῆς Χίου, ὅτε διέτριβεν ἐκεῖ ὡς παιδαγωγὸς παρά τινι τῶν πλουσίων Χίων.[1] Ἀλλ' ὅτι οὐδαμῶς μετέχει τῆς Ὁμηρικῆς Μούσης, πολλοὶ καὶ τῶν ἀρχαίων καὶ τῶν νεωτέρων ἀπέδειξαν, καὶ πάντων μάλιστα ὁ

---

[1] Ἴδε περὶ τούτου ἐν τοῖς ἔμπροσθεν (σελ. 26.)

παράδοξος μὲν ἐκδότης τῶν Ὁμηρικῶν ἐπῶν, ἔνδοξος δὲ συγγραφεὺς τῶν εἰς Ὅμηρον Προλεγομένων, ὁ Ἄγγλος Ρ. Π. Κνίχτιος (Richardus Payne Knight), ἐξ αὐτοῦ τοῦ ποιήματος δύο ἀρυσάμενος ἀποδείξεις· πρῶτον μὲν τὸ ἐν ἀρχῇ λεγόμενον ὑπὸ τοῦ ποιητοῦ

> . . . . εἵνεκ' ἀοιδῆς,
> ἣν νέον ἐν δέλτοισιν ἐμοῖς ἐπὶ γούνασι θῆκα·

ὅθεν εἰκάζει, ὅτι τὸ ποίημα ἔργον ἐστὶν Ἀττικοῦ τινος, καὶ οὐχὶ Ἀσιανοῦ· διότι οἱ Ἀσιανοὶ ἔγραφον ἐν διφθέραις, καὶ οὐχὶ ἐν δέλτοις, καὶ τούτου μάρτυρα ἐπάγεται τὸν Ἡρόδοτον·[1] ἔπειτα δὲ καὶ ἐκ τοῦ στίχου 193, ἔνθα ἡ Ἀθηνᾶ παραπονουμένη κατὰ τῶν βατράχων, ὅτι θορυβοῦντες ἐτάραξαν τὸν ὕπνον αὐτῆς, ἐπιλέγει

> . . . . ἐγὼ δ' ἄϋπνος κατεκείμην,
> τὴν κεφαλὴν ἀλγοῦσα, ἕως ἐβόησεν ἀλέκτωρ.

Οἱ ἀρχαιότατοι ποιηταὶ (λέγει ὁ Κύριος Κνίχτιος) ἠγνόουν καὶ τὸν ἀλέκτορα καὶ τὴν ἀλεκτοροφωνίαν· διότι τὸ πτηνὸν τοῦτο, Ἰνδικῆς ὂν καταγωγῆς, μόλις τὸν ἕκτον αἰῶνα πρὸ Χριστοῦ εἰσήχθη ἐν τῇ Εὐρώπῃ, ὡς φαίνεται ἐκ νομισμάτων τῶν Σαμοθρᾳκῶν καὶ Ἱμεραίων.[2]

Τῶν μὲν ἀρχαίων τινὲς ἀπέδωκαν τὸ ποιημάτιον τοῦτο εἰς Πίγρητα (ὅν τινες καὶ Τίγρητα λέγουσι), τὸν ἀδελφὸν τῆς μετὰ τοῦ Ξέρξου κατὰ τῆς

---

[1] *Ἡροδ. Ε', § 58.—Καὶ ὁ Οὐόλφιος ἐν τοῖς εἰς Ὅμηρον Προλεγομένοις* (σελ. 88, σημ. 51) *λέγει, ὅτι ἡ λέξις* δέλτος *οὐκ ἔστιν ἀρχαιοτέρα τοῦ Αἰσχύλου καὶ τοῦ ποιητοῦ τῆς Βατραχομυομαχίας, ὃς ἦν σύγχρονος τῷ Αἰσχύλῳ.*—Denique vocabulum δέλτος non est antiquius Aeschylo et auctore Batrachomyomachiae, temporibus Aeschyli, id quod etiam nonnuli ex veteribus viderunt, aequali.

[2] R. P. Knight's Prolegom. ad Homerum, p. 6. *Ἴδε τοῦ αὐτοῦ καὶ τὴν περὶ τοῦ Ἑλληνικοῦ ἀλφαβήτου πραγματείαν.*—An Analytical Essay on the Greek Alphabet, p. 30. London, 1791.—*Πλείω δὲ περὶ Βατραχομυομαχίας ἔγραψεν ὁ μακαρίτης* W. Mure *ἐν τῇ κριτικῇ αὐτοῦ Ἱστορίᾳ κ. τ. λ.* (*τόμος Β'*, *σελ.* 358—361) *ἔνθα πρὸς ταῖς παρατηρήσεσι τοῦ συμπολίτου αὐτοῦ* R. P. Knight *καὶ ἰδίας προστίθησιν, ἐξ ὧν καταφαίνεται, ὅτι Ἀττικοῦ τινός ἐστι τὸ ποίημα. Ὀρθοτάτη δέ ἐστιν ἡ παρατήρησις αὐτοῦ περὶ τῆς καταχρήσεως τοῦ ἄρθρου, πολλαχοῦ τοῦ ποιήματος κατὰ τὸν Ἀττικὸν τρόπον τιθεμένου, ὡς ἐν τοῖς—ἀσπὶς ἦν λύχνου τὸ μεσόμφαλον—ἡ δὲ κόρυς τὸ λέπυρον ἐπὶ κροτάφοις καρύοιο—φύλλα δὲ τῶν κραμβῶν εἰς ἀσπίδας εὖ ἤσκησαν—ἥλατο δ' ἐς λίμνην φεύγων, τὴν ἀσπίδα ῥίψας—τὸ σὸν ὅπλον κινείσθω—κ. τ. λ.*

Ἑλλάδος στρατευσαμένης Ἀρτεμισίας, βασιλίσσης τῆς Καρίας.[1] Ἐν δὲ τοῖς νεωτέροις εἰσὶν οἱ ἀναβιβάζουσιν αὐτὸ εἰς ἀρχαιοτέραν τοῦ Αἰσχύλου ἐποχήν· καί τις αὐτῶν ἀπεφήνατο γνώμην ἀληθῶς τεραστίαν, ὅτι εὑρίσκει τὴν Βατραχομυομαχίαν εὐγενέστερον καὶ τελειότερον ποίημα, ἢ τὴν Ἰλιάδα καὶ Ὀδύσσειαν.[2] Ἀλλ' εἰ μὲν ἡ τοιαύτη κρίσις ἐστὶν ὑπερβολὴ παράδοξος, δι' ἣν ὁ οὕτω κρίνων δικαίως ἐφοβεῖτο ἐκ προοιμίων τοὺς μυκτηρισμοὺς τῶν ἀναγνωστῶν, οὐχ ἧττον ὅμως κατά τε τὴν λέξιν, καὶ τοῦ μύθου τὴν πλοκήν, καὶ τῶν εἰκόνων τὴν σύνθεσιν, διακρίνεται ἐν τῇ Βατραχομυομαχίᾳ ἡ τοῦ ποιήσαντος εὐφυΐα, καὶ πολλαχοῦ τοιαύτη τῆς Ἰλιάδος ἀπομίμησις, ὥστε τὸ ὅλον ποιημάτιον οὐδὲν ἄλλο ἐστίν, ἢ παρῳδία τις τοῦ μεγάλου ἐκείνου ποιήματος. Αἱ δημηγορίαι τῶν ἡρώων Τρωξάρτου καὶ Φυσιγνάθου, καὶ μετὰ ταύτας ὁ ὁπλισμὸς τῶν μυῶν καὶ βατράχων, ἡ θέα τῶν μαχητῶν, συγκινοῦσα τὸν Ὀλύμπιον Δία, ὃς ἐπισκοπεῖ τοὺς μεγάλους ἐκείνους ἥρωας "ἔγχεα μακρὰ φέροντας,"

οἷος Κενταύρων στρατὸς ἔρχεται ἠὲ Γιγάντων,

ἡ μάχη, ἐν ᾗ πίπτουσιν ἀλλεπάλληλοι τιτρωσκόμενοι οἱ ἥρωες Λειχήνωρ, Πηλείων, Ἐμβασίχυτρος, Τρωγλοδύτης, καὶ ἄλλοι, ταῦτα πάντα θαυμασίως παριστῶσιν ἐν μικρῷ τὰς μυριονέκρους τῆς Ἰλιάδος μάχας· καὶ τὸν ὑπερβολικὸν τρόμον, ὃν ἐμποιοῦσιν ἐκεῖναι, τεχνηέντως μεταποιοῦσιν εἰς ὑπερβολικὸν γέλωτα. Ἐν τέλει δὲ τὸ γελοῖον γίνεται γελοιότερον, ὅτε ὁ Ἄρης ἀποφαίνεται ἐν τῷ συμβουλίῳ τῶν θεῶν, ὅτι οὐκ ἔστιν ἑνὸς μόνου θεοῦ ἔργον ἡ σωτηρία τῶν νικωμένων βατράχων· ἀλλ' ἤτοι πάντες οἱ θεοὶ πρέπει

---

[1] Ἴδε Πλούταρχον ἐν τῷ "περὶ Ἡροδότου κακοηθείας" § 43, καὶ Σουΐδαν ἐν λ. Πίγρης· ἔτι δὲ καὶ Τζέτζην ἐν ἐξηγήσει Ἰλιάδος (σελ. 37, ἔκδ. Ἑρμάννου). πλείω δὲ περὶ τούτου ἐν τῇ Φαβρικίου Ἑλ. Β. τόμ. Α΄, σελ. 335—7.

[2] Τοιαύτην ἐξέφρασε γνώμην ὁ Ἰάκωβος Γάδδιος ἐν τῷ συγγράμματι αὐτοῦ, De Scriptoribus non Ecclesiasticis (τόμ. Α΄, σελ. 208) λέγων. "Paradoxon dicere volo, licet "verear nasutos Censores vel Momos, Batrachomyomachia videtur mihi nobilior pro-"piorque perfectioni, quam Odyssea et Ilias, imo utramque superat judicio ac ingenio et "praestantia texturae, cum sit poema ludicrum excellens." Ἴδε Φαβρίκιον ἔνθ. ἀν.—Πρὸς ταῦτα οὐδὲν ἄλλο, νομίζω, δύναταί τις εἰπεῖν καταλληλότερον, ἢ τὸ Λατινικὸν λόγιον, de gustibus non est disputandum.

νὰ σπεύσωσιν εἰς βοήθειαν, ἢ ὁ κεραυνὸς τοῦ Διὸς νὰ κινηθῇ. Ῥίπτεται λοιπὸν ὁ τρομερὸς κεραυνός·

> *ἀλλ' οὐδ' ὣς ἀπέληγε μυῶν στρατός, ἀλλ' ἔτι μᾶλλον*
> *ἵετο πορθήσειν βατράχων γένος αἰχμητάων,*
> *εἰ μὴ ἀπ' Ὀλύμπου βατράχους ᾤκτειρε Κρονίων·*
> *ὅς ρα τότε βατράχοισιν ἀρωγοὺς εὐθὺς ἔπεμψεν.*

Ἔρχονται λοιπὸν οἱ ἀρωγοί, καὶ οὗτοι ἦσαν οἱ καρκῖνοι· οἵτινες δάκνοντες καὶ κόπτοντες τὰς οὐρὰς τῶν μυῶν, καὶ τοὺς πόδας καὶ τὰς χεῖρας, ἐμποιοῦσιν αὐτοῖς φόβον μέγαν, ἐξ οὗ τρέπονται εἰς φυγήν, καὶ οἱ βάτραχοι σώζονται— Διὸς δ' ἐτελείετο βουλή·

> *Ἦλθον δ' ἐξαπίνης νωτάκμονες, ἀγκυλοχῆλαι,*
> *λοξοβάται, στρεβλοί, ψαλιδόστομοι, ὀστρακόδερμοι,*
> *ὀστοφυεῖς, πλατύνωτοι, ἀποστίλβοντες ἐν ὤμοις,*
> *βλαισοί, χειροτένοντες, ἀπὸ στέρνων ἐσορῶντες,*
> *ὀκτάποδες, δικάρηνοι, ἀχειρέες—οἱ δὲ καλεῦνται*
> *καρκῖνοι—οἵ ρα μυῶν οὐρὰς στομάτεσσιν ἔκοπτον,*
> *ἠδὲ πόδας καὶ χεῖρας· ἀνεγνάμπτοντο δὲ λόγχαι.*
> *τοὺς καὶ ὑπέδδεισαν δειλοὶ μύες, οὐδ' ἔτ' ἔμειναν,*
> *ἐς δὲ φυγὴν ἐτράποντο· ἐδύσετο δ' ἠέλιος ἤδη,*
> *καὶ πολέμου τελετὴ μονοήμερος ἐξετελέσθη.*

Τῆς Βατραχομυομαχίας ἐγένοντο ἴδιαι ἐκδόσεις καὶ μεταφράσεις οὐκ ὀλίγαι, ἃς ἀπαριθμεῖ ὁ Φαβρίκιος·[1] διάφοροι δὲ περὶ τοῦ σκοποῦ τοῦ ποιηματίου τούτου ἐδόθησαν γνῶμαι, ὧν μάλιστα περίεργοί εἰσιν ἡ τοῦ Φιλίππου Μελάγχθωνος καὶ ἡ τοῦ Πέτρου Λασείνου (La Seine)· διότι ὁ μὲν πρῶτος λέγει, ὅτι σκοπὸς τοῦ ποιήματός ἐστι τὸ ἐμποιῆσαι τῷ ἀναγινώσκοντι μῖσος κατὰ τῶν ταραχῶν καὶ στάσεων· ὁ δὲ δεύτερος, τὸ διδάξαι τοὺς νέους

[1] ἔνθ. ἀνωτ. σελ. 338—341. Σημειωτέον δέ, ὅτι ἡ Βατραχομυομαχία ἐστὶ τὸ τρίτον τῶν μετὰ τὴν εὕρεσιν τῆς τυπογραφίας ἐκτυπωθέντων Ἑλληνικῶν βιβλίων, περὶ ὧν ἐφεξῆς (κεφ. Ι', ἐν ἀρχῇ) λέγομεν ἐκτενέστερον. Ἔσχε δὲ τὴν τιμὴν νὰ τυπωθῇ δύο ἔτη πρὸ τῆς Ἰλιάδος καὶ Ὀδυσσείας, ἐπιστασίᾳ Λαονίκου τοῦ Κρητός. Καὶ ἡ μὲν ἐπιγραφὴ τῆς πρώτης ἐκείνης ἐκδόσεώς ἐστιν—Ὁμήρου Βατραχομυομαχία, ἐν δέ τισι Τίγρητος τοῦ Καρός—ἐν τέλει δὲ δηλοῦται καὶ τοῦ ἐκδότου τὸ ὄνομα οὑτωσί. "Ἐν ὀνόματι τῆς Ἁγίας "Τριάδος, τοῦ Πατρός, καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος. Σύνθεσις ἐμοῦ Λαονίκου "Κρητός, καὶ πρωτοθύτου Χανίων· ἐν ἔτει χιλιοστῷ τετρακοσιοστῷ ὀγδοηκοστῷ ἕκτῳ, "μηνὶ Ἀπριλλίῳ εἰκοστῇ δευτέρᾳ, εἰς Βενετίαν."

μετριότητα ἐν τῷ τρώγειν καὶ πίνειν. Ὁ αὐτὸς Φαβρίκιος λέγει, ὅτι ὁ Εὐστάθιος ἔγραψε σχόλια καὶ εἰς τὴν Βατραχομυομαχίαν, ἅπερ οὐ διεσώθησαν.[1]

2. Ὕ μ ν ο ι.—Πρωτίστη τοῦ ἀνθρώπου ἠθικὴ ἀνάγκη ὑπῆρξεν ἡ ἐπιθυμία τοῦ νὰ δοξολογήσῃ τὴν θείαν παντοδυναμίαν καὶ ἀγαθότητα, πανταχόθεν διδασκόμενος ὑπὸ τῆς περὶ αὐτὸν κτίσεως, καὶ τὴν ἰδίαν ἔχων συνείδησιν συμμαρτυροῦσαν, ὅτι ἀδύνατον ἦν νὰ θεραπεύσῃ ἀφ' ἑαυτοῦ τὰς πολλὰς καὶ παντοίας ἀνάγκας, ὑφ' ὧν περιεστοιχεῖτο, εἰ μὴ πανσόφως ὁ Δημιουργὸς αὐτοῦ καὶ πάσης τῆς ὁρατῆς καὶ ἀοράτου κτίσεως παρεσκεύαζε πάντα τὰ πρὸς θεραπείαν αὐτῶν ἀπαιτούμενα. Ἐντεῦθεν εὐλόγως εἰκάζεται, ὅτι πρώτιστα τοῦ ἀνθρώπου ποιητικὰ δοκίμια ὑπῆρξαν πανταχοῦ τὰ εἰς δοξολογίαν τοῦ Δημιουργοῦ συντεθειμένα. Συμφυὴς δὲ καὶ σύγχρονος τῇ θρησκευτικῇ ταύτῃ ἀνάγκῃ ὑπῆρξεν ἡ τῆς ἐκφράσεως τῶν διαφόρων αἰσθημάτων, χαρᾶς, λύπης, εὐγνωμοσύνης πρὸς τοὺς εὐεργέτας, καὶ τῶν ἄλλων τῶν τοιούτων, ἅπερ ἔδωκαν ἀνέκαθεν ἀφορμὴν εἰς τὴν σύνταξιν ἄλλων ᾀσμάτων, ἐκφραζόντων τὰ διάφορα ταῦτα αἰσθήματα. "Ὠδαὶ καὶ ὕμνοι παντὸς εἴδους (λέγει ὁ Ἄγγλος Βλαίρης) ὑπῆρξαν φυσικῷ τῷ λόγῳ αἱ πρώτισται συνθέσεις, κατὰ τὰ κινοῦντα τοὺς ἀοιδοὺς θρησκευτικὰ αἰσθήματα, ἢ τὴν ἀγαλλίασιν, τὴν ὀργήν, τὴν ἀγάπην, ἢ ἄλλο τι τοιοῦτον θερμὸν αἴσθημα.[2]

Καὶ ἡ Ἑλληνικὴ λοιπὸν ἀρχαιότης ἔσχε τοιαῦτα ποιήματα, ἐξ αὐτῆς αὐτῶν τῆς ποιητικῆς τέχνης μαρτυροῦντα τὴν καταγωγὴν αὐτῶν, καὶ ἀποδιδόμενα εἰς τοὺς ἀρχαιοτάτους ἀοιδούς, Λῖνον, Ὀρφέα, Μουσαῖον, Θάμυριν,

---

[1] *Ἴδε περὶ τούτου καὶ τὸν Εὐσταθίου βίον ἐν τῇ Ἱστορίᾳ τῶν Ἑλλήνων ποιητ. καὶ συγγραφ. ὑπὸ Κ. Ἀσωπίου (σελ. 699—700). Σημειωτέον δέ, ὅτι κατὰ μίμησιν τῆς Βατραχομυομαχίας συνετάχθη ὑπό τινος τῶν λίαν μεταγενεστέρων καὶ ἕτερον ποιημάτιον, ἐπιγραφόμενον Γ α λ ε ο μ υ ο μ α χ ί α, ὅπερ ἐξεδόθη ἐν Βασιλείᾳ πολλάκις, καὶ ἐν Παρισίοις ἅπαξ (τὸ 1549) μετὰ τῶν μύθων τοῦ Αἰσώπου καὶ Βαβρίου, καὶ μετὰ προλόγου Ἑλληνικοῦ ὑπὸ Ἀριστοβούλου Ἀποστολίου, ᾧ καὶ ἀπέδωκάν τινες τὸ ποιημάτιον τοῦτο· ἀλλὰ προφανῶς ἠπατήθησαν· διότι αὐτὸς ὁ Ἀποστόλιος ἐν τῷ προλόγῳ αὐτοῦ λέγει πρὸς τοῖς ἄλλοις, ὅτι τὸ ποιημάτιον ἔγραψε "τῶν μεταγενεστέρων τις, τὸν ποιητὴν ἀπομιμεῖσθαι βουλόμενος." Ἴδε Φαβρίκιον (ἔνθ. ἀνωτ. σελ. 337).*

[2] Hugh Blair's Lectures on Rhetoric and Belles Lettres.—Lect. xxxviii.

Ὅμηρον, κ. τ. λ. Αὐτὸς ὁ Ὅμηρος ἐν ἀρχῇ τῆς Ἰλιάδος διδάσκει οὐ μόνον περὶ τῆς ἀρχαιοτάτης τῶν τοιούτων ὕμνων ὑπάρξεως, ἀλλὰ καὶ ὅτι οἱ θεοὶ ἐτέρποντο τούτους ἀκούοντες·

> *οἱ δὲ πανημέριοι μολπῇ Θεὸν ἱλάσκοντο,*
> *καλὸν ἀείδοντες παιήονα, κοῦροι Ἀχαιῶν,*
> *μέλποντες Ἑκάεργον· ὁ δὲ φρένα τέρπετ' ἀκούων.* [1]

Ἐκαλοῦντο δὲ τὰ ᾄσματα ἐκεῖνα προοίμια, προσόδια, ὕμνοι, ᾠδαὶ ἱεραί, παιᾶνες, καὶ ἄλλα τοιαῦτα· ἀλλ' ἰδίως καλοῦνται ὑπὸ τῶν συγγραφέων προοίμια οἱ εἰς Ἀπόλλωνα ὕμνοι.[2]

Οἱ εἰς τὸν Ὅμηρον ἀποδιδόμενοι ὕμνοι, ὅσοι τοὐλάχιστον διεσώθησαν ὑπὸ τὸ ὄνομα αὐτοῦ, εἰσὶ τὸν ἀριθμὸν τριάκοντα καὶ τρεῖς, μετά τε τῶν μεγάλων αὐτοῦ ποιημάτων συνήθως ἐκδιδόμενοι, ἀλλὰ καὶ ἰδίᾳ πολλάκις ἐκδοθέντες· καὶ ὑπομνήματα δὲ ἔγραψαν περὶ αὐτῶν ὅ τε Ματθίας καὶ Ἕρμαννος καὶ ἄλλοι. Τούτων δὲ οἱ μὲν πρῶτοι τέσσαρες, ὁ εἰς Ἀπόλλωνα, συγκείμενος ἐκ στίχων 546, ὁ εἰς Ἑρμῆν, ἐκ στίχων 580, ὁ εἰς Ἀφροδίτην, ἐκ στίχων 294, καὶ ὁ εἰς Δήμητραν, ἐκ στίχων 495, οὐ μόνον μακρότεροι τῶν ἄλλων εἰσίν, ἀλλὰ καὶ ἐν γένει τελειότεροι· οἱ δὲ λοιποὶ βραχύτεροι ὄντες μόλις περιλαμβάνουσιν οἱ σύμπαντες στίχους 412.

Περὶ δὲ τῆς γνησιότητος αὐτῶν, οἱ μὲν ἀρχαῖοι ἀδιστάκτως ἐθεώρουν αὐτούς, τοὐλάχιστόν τινας ἐξ αὐτῶν, γνήσια τοῦ Ὁμήρου ποιήματα·[3] οἱ δὲ

---

[1] Ἰλιάδ. *Α*, 472. ἔνθα ὁ σχολιαστὴς λέγει· "Διδάσκει ἡμᾶς ὅτι πλέον τῶν θυσιῶν τέρπονται οἱ θεοὶ τοῖς οἰκείοις ἕκαστος ὕμνοις." Ὅθεν καὶ ὁ Πλούταρχος ἐν τῷ περὶ μουσικῆς (§ 2) λέγει· "ὑμνεῖν γὰρ εὐσεβὲς καὶ προηγούμενον ἀνθρώποις τοὺς χαρισαμένους αὐτοῖς μόνοις τὴν ἔναρθρον φωνὴν θεούς· τοῦτο δὲ καὶ Ὅμηρος ὑπεσημήνατο, ἐν οἷς λέγει —οἱ δὲ πανημέριοι μολπῇ θεὸν ἱλάσκοντο κ. τ. λ." Ἴδε περὶ τούτου καὶ O. Müller τὴν Ἱστορίαν τῆς Ἑλλην. γραμματολογίας (κεφ. Γ'), καὶ μάλιστα τὴν κριτικὴν Ἱστορίαν τοῦ Ἄγγλου W. Mure (βιβλ. Δ', κεφ. 8).

[2] Θουκυδ. Γ', § 104.—Πλάτ. ἐν Φαίδωνι σελ. 60.—Διογέν. Λαέρτιος ἐν βίῳ Ἐμπεδοκλέους, § 57.—Πλούταρχ. ἐν τῷ περὶ μουσικῆς, § 4, κ. τ. λ.

[3] Ὁ μὲν Θουκυδίδης (ἔνθ. ἀνωτ.) λέγων, ὅτι ἐτελοῦντο ἐν Δήλῳ ἀγῶνες μουσικοὶ καὶ γυμνικοί, ἐπάγεται εἰς μαρτυρίαν τὸν εἰς Ἀπόλλωνα ὕμνον τοῦ Ὁμήρου. Διόδωρος δὲ ὁ Σικελιώτης (Δ', § 2) ἐπικαλεῖται εἰς μαρτυρίαν τὸν εἰς Διόνυσον· καὶ ὁ Παυσανίας (Κορινθ. κεφ. ΙΔ') τὸν εἰς Δήμητραν. Ἴδε καὶ Στέφ. Βυζάντιον ἐν λ. Τευμησσός) καὶ τὸν σχολιαστὴν τοῦ Ἀριστοφάνους ἐν Ὄρνισι (στ. 575.)

νεώτεροι, μόνου ἐξαιρουμένου τοῦ Ἑρμάννου, πάντας κατεδίκασαν ὡς ψευδεπιγράφους. Ἀλλά, καὶ τούτου τεθέντος, ἀδύνατον νὰ θεωρηθῶσιν ἔργα πολὺ μεταγενέστερα, οὐ μόνον διότι εἰς ἀρχαίαν ἐποχὴν μνημονεύονται ὡς ἤδη ὑπάρχοντες, ἀλλὰ καὶ διότι ἐξ αὐτῆς αὐτῶν τῆς κατασκευῆς μαρτυρεῖται ἡ ἀρχαιοτάτη αὐτῶν καταγωγή. Ὁ Ἀθήναιος ἀμφιβάλλων περὶ τῆς γνησιότητος αὐτῶν (τοὐλάχιστον τοῦ εἰς Ἀπόλλωνα ἐπιγεγραμμένου) λέγει· "Καὶ Ὅμηρος δὲ ἢ τῶν Ὁμηριδῶν τις ἐν τοῖς εἰς Ἀπόλλωνα ὕμνοις φησὶν "κ. τ. λ."[1] ὁ δὲ σχολιαστὴς τοῦ Πινδάρου τὸν ὕμνον τοῦτον ἀποδίδωσι Κυναίθῳ τῷ Χίῳ, λέγων· "Ἦν δὲ ὁ Κύναιθος Χῖος, ὃς καὶ τῶν ἐπιγραφο-"μένων Ὁμήρῳ ποιημάτων τὸν εἰς Ἀπόλλωνα γεγραμμένον ὕμνον λέγεται "πεποιηκέναι."[2] Δῆλον ἄρα ἐντεῦθεν, ὅτι, εἰ καὶ μὴ αὐτοῦ τοῦ Ὁμήρου, εἰσὶν ὅμως τὰ ποιήματα ταῦτα ἀρχαιοτάτης ἐποχῆς. Τοῦτο καὶ οἱ νεώτεροι κριτικοὶ ἀποδέχονται, μάλιστα δὲ ὁ Ῥουχγκένιος (D. Ruhnkenius), ὃς πρῶτος ἐν τῇ πρὸς Οὐαλκενάριον κριτικῇ ἐπιστολῇ περὶ τῶν Ὁμήρου καὶ Ἡσιόδου ὕμνων ἀπεφήνατο περὶ τοῦ ψευδεπιγράφου αὐτῶν· ἀλλὰ καὶ προστίθησιν, ὅτι εἰσὶν ἔργα τῶν ἀμέσως μετὰ τὸν Ὅμηρον καὶ Ἡσίοδον ἀκμασάντων ποιητῶν.[3] Πρὸς ταῦτα διερωτᾷ ὁ Σχόιλλιος· "ἔστιν ἄρα "δυνατὸν διὰ τοσοῦτον λεπτοῦ διαφράγματος ν' ἀποχωρίσωμεν τῶν "Ὁμηρικῶν ποιημάτων τοὺς ὕμνους τούτους;" καὶ τελευτῶν ἀποδέχεται μᾶλλον τὰς τοῦ Ἑρμάννου παρατηρήσεις, ὡς πρακτικωτέρας καὶ πιθανωτέρας, ἢ τὰς λεπτὰς καὶ λίαν αἰσθητικὰς τῶν διὰ λεπτοῦ διαφράγματος ἀποχωριζόντων τοὺς ὕμνους τούτους ἀπὸ τῶν Ὁμηρικῶν ποιημάτων.[4] Ἀλλ' ὅμως ὁ πολὺς Μύλλερος ἐν τῷ Ζ' κεφαλαίῳ τῆς ἱστορίας τῆς Ἑλληνικῆς γραμματολογίας περὶ τῶν Ὁμηρικῶν ὕμνων πραγματευόμενος, ἐκ παρατηρήσεων πρακτικῶν περὶ τῆς γλώσσης καὶ τῶν ἐννοιῶν, τῶν ἐν τοῖς Ὁμηρικοῖς ὕμνοις περιεχομένων, διϊσχυρίσατο καὶ ἀρκούντως ἀπέδειξεν, ὅτι εἰσὶ ποιή-

---

[1] Ἀθην. Δειπνοσ. βιβλ. Α', σελ. 22.

[2] Πινδ. Νεμ. Β' (ἐν ἀρχῇ.)

[3] Εὕρηται ἡ μακρὰ αὕτη τοῦ Ῥουχγκενίου ἐπιστολὴ ἐν τῇ ὑπ' αὐτοῦ γενομένῃ ἐκδόσει τοῦ εἰς Δήμητραν ὕμνου. (Lugd. Batavorum, 1808.)

[4] Ἴδε Schoel: Histoire de la Littérature Grecque, tom. i, p. 144—8.

